ταῦτα ὁρῶντες ἄληκτον ἂν καὶ ἀκατάπαυστον ἐν παντὶ τῷ τῆς ζωῆς διαστήματι τὴν εὐχαριστίαν ἀπεπληροῦμεν· νυνὶ δὲ πρὸς μόνον τὸ ὑλικὸν πᾶσα σχεδὸν ἡ ἀνθρωπίνη φύσις ἐγρήγορεν. πρὸς τοῦτο ἡ σπουδή· ἐν τούτῳ ἡ προθυμία· περὶ ταῦτα καὶ ἡ μνήμη καὶ ἡ ἐλπὶς καταγίνεται· ἄϋπνός ἐστι καὶ ἀκοίμητος πρὸς τὴν τοῦ πλείονος ἐπιθυμίαν ἡ ἀνθρωπίνη φύσις ἐν παντὶ πράγματι ἐν ᾧ δυνατόν ἐστιν ἐξευρεθῆναι τὸ πλέον· εἴτε κατὰ τιμήν τε καὶ δόξαν, εἴτε κατὰ τὴν τῶν χρημάτων περιουσίαν, εἴτε κατὰ τὴν τοῦ θυμοῦ νόσον, πανταχοῦ πρὸς τὸ πλέον ἡ φύσις ἐν τούτοις βλέπει. τῶν δὲ ἀληθινῶν τοῦ θεοῦ ἀγαθῶν λόγος οὐδεὶς οὔτε τῶν φαινομένων οὔτε τῶν ἐπηγγελμένων.

Ἀλλὰ καιρὸς ἂν εἴη καὶ τῶν τῆς προσευχῆς ῥημάτων κατιδεῖν, ὡς ἔστι δυνατόν, τὴν διάνοιαν. δῆλον γὰρ ὅτι τὸ τυχεῖν ὧν βουλόμεθα διὰ τοῦ μαθεῖν ὅπως προσήκει ποιεῖσθαι τὴν αἴτησιν περιγίνεται. τίς οὖν ἡ διδαχή; Προσευχόμενοι, φησί, μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. τάχα μὲν οὖν
28 M. αὐτόθεν ἔχει τὸ σαφὲς ἡ τῆς διδασκαλίας διάνοια, γυμνότερον ἡμῖν ἐκτεθεῖσα καὶ οὐδὲν δεομένη λεπτοτέρας κατανοήσεως, πλὴν ἄξιον ἐξετάσαι τί σημαίνει τῆς βαττολογίας τὸ ῥῆμα, ὡς ἂν μαθόντες τὴν διάνοιαν ἔξω τοῦ ἀπηγορευμένου γενοίμεθα. δοκεῖ τοίνυν μοι σωφρονίζειν τε καὶ συστέλλειν τὴν χαυνότητα τῆς διανοίας τῶν ταῖς ματαίαις ἐπιθυμίαις ἐμβαθυνόντων, καὶ διὰ τοῦτο τὴν ξένην ταύτην τῆς λέξεως καινοτομίαν ἐξευρηκέναι, ἐπὶ ἐλέγχῳ τῆς ἀνοίας τῶν περὶ τὰ ἀνωφελῆ τε καὶ μάταια ταῖς ἐπιθυμίαις διαχεομένων. ὁ γὰρ ἔμφρων τε καὶ συνετὸς καὶ πρὸς τὸ χρήσιμον βλέπων

17 Matth 6, 7

1 ἂν om Φ   3-4 ἐγρήγορεν ante ἡ coll Ψν   5 καὶ post ταῦτα om ΦΣ   7 ἂν post ᾧ add Φ   10 ἐν τούτοις ἡ φύσις Ψν   11 ἀγαθῶν τοῦ θεοῦ Φ   17 βαττολογεῖτε Φ   20 οὐδὲν ΨΣ: οὐ Φ   τῆς λεπτοτέρας Ψν   23 τοίνυν: δέ Φ   23-24 τε om et καὶ συστέλλειν post διανοίας coll Ψν   25 τὴν φαντασίαν ante καὶ add CR²   25-26 καινοτομίαν τῆς λέξεως εὑρηκέναι Φ   27 τε om Φ

λόγος κυρίως λέγεται λόγος· ὁ δὲ ταῖς ἀνυπάρκτοις ἐπιθυμίαις διὰ τῆς ἀνυποστάτου ἡδονῆς ἐπιχεόμενος οὐκ ἔστι λόγος ἀλλὰ βαττολόγος, ὡς ἄν τις ἑλληνικώτερον ἑρμηνεύων εἴποι τὸν νοῦν, φλυαρία καὶ λῆρος καὶ φλήναφος καὶ εἴ τι ἄλλο τῆς τοιαύτης σημασίας ἐστίν. τί οὖν ἡμῖν συμβουλεύει ὁ λόγος; μὴ ταὐτὸν πάσχειν ἐν τῷ καιρῷ τῶν προσευχῶν οἷον ἐν τῇ τῶν παίδων διανοίᾳ συνίσταται πάθος. ὥσπερ γὰρ οἱ ἀτελεῖς τὴν διάνοιαν οὐχ ὅπως ἄν τι γένοιτο τῶν κατὰ γνώμην αὐτοῖς ἐπινοοῦσιν ἀλλὰ κατ' ἐξουσίαν εὐκληρίας τινὰς ἑαυτοῖς ἀναπλάσσουσιν, θησαυροὺς καὶ γάμους καὶ βασιλείας καὶ πόλεις μεγάλας ταῖς προσηγορίαις αὐτῶν ἐπονομαζομένας ὑποτιθέμενοι—εἰς ἐκεῖνο εἶναι τῇ διανοίᾳ φαντάζονται ὅπερ ἂν αὐτοῖς ἡ ματαιότης τῶν λογισμῶν ὑπογράψῃ· εἰσὶ δέ τινες οἳ καὶ νεανικώτερον τῆς ματαιότητος ταύτης ἀντιλαμβάνονται καὶ ὑπερβάντες τὰ μέτρα τῆς φύσεως ἢ πτηνοὶ γίνονται ἢ κατὰ τοὺς ἀστέρας λάμπουσιν ἢ ὄρη διὰ χειρὸς φέρουσιν ἢ τὸν οὐρανὸν ἑαυτοῖς ὁδοποιοῦσιν ἢ πρὸς μυριοστὸν διαρκοῦσιν ἔτος, νέοι ἐκ παλαιῶν γινόμενοι, ἢ ὅσα ἄλλα τοιαῦτα τοῖς νηπιωδεστέροις τίκτει πομφολυγώδη καὶ διάκενα ἡ καρδία νοήματα—ὥσπερ τοίνυν ἐν τοῖς πράγμασιν ὁ μὴ ταῦτα λογιζόμενος δι' ὧν ἂν γένοιτό τι ἀγαθὸν τῷ βουλευομένῳ ἀλλ' ἐμματαιάζων ταῖς ἀνυπάρκτοις ἐπιθυμίαις ἀνόητός τίς ἐστι καὶ ἄθλιος, τὸν τοῦ πρᾶξαί τι τῶν λυσιτελούντων βουλεύσασθαι καιρὸν τοῖς ἐνυπνίοις τούτοις προσαναλίσκων, οὕτως ὁ ἐν καιρῷ προσευχῆς μὴ πρὸς τὰ συμφέροντα τῇ ψυχῇ τεταμένος ἀλλὰ πρὸς τὰς ἐμπαθεῖς τῆς διανοίας κινήσεις συνδιατίθεσθαι τὸν θεὸν ἀξιῶν λῆρός τίς ἐστιν ὡς ἀληθῶς καὶ βαττολόγος, τῶν ἰδίων ματαιοτήτων

18 cf Heraclit Fr 88 DK[6]

2 ἔστι: ἔτι VW 3 βαττολογία v 5 ἐστίν om v 6 τῆς προσευχῆς ΕΣ (cf 25) 7 παίδων: νηπίων Ψv 9 αὐτῶν v 10 καὶ γάμους om v 15 τὸ μέτρον ΦΣ 16 φύσεως ΨΣ: ἀνθρωπίνης φύσεως Φ ἢ ante πτηνοὶ om v 18 παλαιῶν: νέων ΦΣ (cf Beat 131, 23-24; 151, 15-17) 20 νοήματα ΦΣ: ποιήματα Ψv 21 ταῦτα: νοήματα τοιαῦτα Φ 22 τῶν βουλευομένων v ἐνματαιάζων Ψ' (ἐμμ- O[2]) 25-26 μὴ ante τεταμένος coll Ψv 26 συμφέροντα: λυσιτελοῦντα Φ 28 ἰδίων: οἰκείων Φ

συνεργόν τε καὶ ὑπηρέτην τὸν θεὸν γίνεσθαι προσευχόμενος. οἷον τί λέγω; πρόσεισί τις διὰ προσευχῆς τῷ θεῷ καί, μὴ κατανοήσας τῇ διανοίᾳ τὸ ὕψος τῆς δυνάμεως ᾗ προσέρχεται, λανθάνει καθυβρίζων τὸ μέγεθος ταῖς γλίσχραις τε καὶ ταπειναῖς τῶν αἰτήσεων. ὥσπερ ἂν εἴ τις τὰ ἐκ πηλοῦ σκεύη δι᾽ ὑπερβολὴν πενίας ἢ ἀγροικίας τίμια νομίζων, ἔπειτα βασιλεῖ προσελθὼν πλούτους ὅλους διανέμειν προαιρουμένῳ, ὁ δὲ καταλιπὼν τὰς βασιλικὰς αἰτήσεις ἀξιοῖ τὸν τοσοῦτον τῷ ἀξιώματι πηλὸν διαπλάσαντα ποιῆσαί τι τῶν ἐκείνῳ καταθυμίων, οὕτως καὶ ὁ ἀπαιδεύτως τῇ εὐχῇ χρώμενος οὐ πρὸς τὸ ὕψος τοῦ διδόντος ἑαυτὸν ἐπαίρει ἀλλὰ πρὸς τὸ ταπεινόν τε καὶ γήϊνον τῆς ἰδίας ἐπιθυμίας τὴν θείαν δύναμιν καταβῆναι ποθεῖ. τούτου χάριν τὰς ἐμπαθεῖς ὁρμὰς προτείνει τῷ τὰς καρδίας βλέποντι, οὐχ ὅπως ἂν θεραπεύσειε τὰ ἄτοπα
1129 M. τῆς διανοίας κινήματα ἀλλ᾽ ὅπως ἂν χείρων γένοιτο, εἰς ἔργον τῆς πονηρᾶς ὁρμῆς διὰ τῆς συνεργίας τοῦ θεοῦ προελθούσης. ἐπειδὴ γὰρ ὁ δεῖνα λυπεῖ καί μοι διάκειται δυσμενῶς ἡ καρδία, Πάταξον αὐτόν, τῷ θεῷ λέγει, μονονουχὶ ἐκεῖνο βοῶν ὅτι Τὸ ἐμὸν πάθος ἐν σοὶ γενέσθω καὶ ἡ ἐμὴ κακία ἐπὶ σὲ διαβήτω. ὡς γὰρ ἐν ταῖς ἀνθρωπίναις μάχαις οὐκ ἔστι συμμαχῆσαί τινα τῷ ἑνὶ μέρει μὴ συμπαροξυνθέντα τῷ ὀργιζομένῳ κατὰ τοῦ προσπαλαίοντος, οὕτω δῆλον ὅτι ὁ κατὰ τοῦ ἐχθροῦ τὸν θεὸν κινῶν συνοργισθῆναι παρακαλεῖ καὶ τοῦ θυμοῦ κοινωνὸν γενέσθαι. τοῦτο δέ ἐστι τὸ εἰς πάθος πεσεῖν τὸ θεῖον καὶ κατὰ ἄνθρωπον διατεθῆναι καὶ εἰς θηριώδη ἀπήνειαν ἐκ τῆς ἀγαθῆς φύσεως μεταποιηθῆναι. οὕτως ὁ δοξομανῶν, οὕτως ὁ ἐν ὑπερηφανίᾳ τὸ πλέον ἔχειν ἐπιθυμῶν, ὁ ἐν τῇ διαδικασίᾳ πρὸς τὴν νίκην σπεύδων, ὁ

14 cf Luc 16, 15; Rom 8, 27; I Thess 2, 4

1 τε om Ψv γενέσθαι Φ 3 τὸ ὕψος τῇ διανοίᾳ VW τῇ διανοίᾳ om M 4 γλίσχραις VM: αἰσχραῖς WΨv τε om Ψv 7 πλούτους ὅλους ΦΣ: πλούτους ὅλους καὶ ἀξιώματα Ψv (ὅλους om v) 10 προσευχῇ Φ 13 τούτου ΦΣ: καὶ τούτου Ψv 15 χείρων ΜΣ: χεῖρον V χειρὸν (sic) W χείρω Ψv 17 προσελθούσης v με post λυπεῖ add CΣ πρὸς ἐκεῖνον post διάκειται add ΦΣ 18 μόνον οὐκ Ψv 19 καὶ om v ἐμή: ἐμοῦ v 21 παροξυνθέντα Φ 22 παροργιζομένῳ Φ 25 τὸν θεὸν ΦΣ

ἐν τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὸν στέφανον ἐπειγόμενος, ὁ ἐν θεάτροις τῆς εὐφημίας ἀντιποιούμενος, πολλάκις δὲ καὶ ὁ πρὸς τὸ λυσσῶδες τῆς νεότητος πάθος ἐκτετηκώς. πάντες οὗτοι οὐχ ὅπως ἂν ἔξω τοῦ ἐπικρατοῦντος ἀρρωστήματος γένοιντο προσάγουσι τῷ θεῷ τὰς δεήσεις, ἀλλ' ὅπως ἂν εἰς πέρας αὐτοῖς ἡ νόσος ἔλθοι· καὶ τὸ διαμαρτεῖν τούτων ἀντὶ συμφορᾶς ἕκαστος κρίνοντες βαττολογοῦσιν ὄντως, συνεργὸν τῆς κατὰ τὸν νοῦν αὐτῶν ἀρρωστίας γενέσθαι τὸν θεὸν ἱκετεύοντες. καὶ τὸ πάντων χαλεπώτατον ὅτι πρὸς τὰς ἐναντίας ὁρμὰς κινεῖσθαι τὸ θεῖον αὐτοῖς ἐπιθυμοῦσιν, εἰς ἀγριότητα καὶ φιλανθρωπίαν μερίζοντες τοῦ θεοῦ τὴν ἐνέργειαν. ὃν γὰρ ἵλεων καὶ πρᾶον ἐπιζητοῦσιν ἑαυτοῖς εἶναι τοῦτον πικρόν τε καὶ ἀπηνῆ τοῖς ἐχθροῖς αὐτῶν ἐπιδειχθῆναι παρακαλοῦσιν. ὢ τῆς ἀνοίας τῶν βαττολογούντων. εἰ γὰρ ἀπηνὴς ὁ θεός, οὐδὲ σοὶ πάντως ἥμερος. εἰ δὲ ἐπὶ σοῦ πρὸς ἔλεον ῥέπει κατά γε τὴν σὴν ἐλπίδα, πῶς ἂν μεταβάλοιτο πρὸς τοὐναντίον εἰς πικρίαν μεθαρμόζων τὸν ἔλεον;

Ἀλλὰ πρόχειρος τῶν ἐριστικῶν ἡ πρὸς τὸ τοιοῦτον ἀντίθεσις. εὐθὺς γὰρ εἰς συνηγορίαν τῆς ἑαυτῶν πικρίας τὰς ἐκ τῆς προφητείας φωνὰς παρατίθενται· τὸν Δαβὶδ ἐκλείπειν τοὺς ἁμαρτωλοὺς ποθοῦντα, καὶ αἰσχύνην καὶ ἐντροπὴν τῶν ἐχθρῶν κατευχόμενον· τὸν Ἱερεμίαν ἰδεῖν τὴν παρὰ τοῦ θεοῦ ἐκδίκησιν ἐκ τῶν ἐναντίων ἐπιθυμοῦντα· τὸν Ὠσηὲ μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηροὺς δοθῆναι τοῖς ἐχθροῖς δεόμενον. καὶ πολλὰ τοιαῦτα σποράδην ἐγκείμενα ταῖς ἁγίαις γραφαῖς ἀναλέγονται, συνιστάμενοι τὸ δεῖν τῶν ἐναντίων

12-13 cf Plat Resp 566E; Leg 792D 21-23 Ps 9, 4 sqq; 67, 2-3; 82, 10 sqq; 91, 8; 103, 35 23-24 Ier 20, 12; cf 10, 25 24-26 Os 9, 14

4 ἂν om Φ 5 τῷ om v 5-6 αὐτοῖς εἰς πέρας Φ 7 ἕκαστον V ὄντως ΨΣ (ut vid): οὕτως Φ (cf 12, 28) 8 αὐτῶν om v 12 ἑαυτοῖς ante ἵλεων coll Φ 15 ἀπηνὴς ΦΣ: ἐκείνοις ἀπηνὴς Ψv 17 μεταβάλλοιτο VM 19 πρὸ χειρὸς v 21 ἐκ om Φ ἐκλιπεῖν Ψv 22 τὸν ἁμαρτωλὸν Φ ποθοῦντα: ἐπιθυμοῦντα Φ 24 τοῦ θεοῦ: θεοῦ Ψ θεῷ v ὠσηὲ: ἀμὼς (vel -ῶς) ΦΣ 26 κείμενα v 27 τὸ: τῶ V

κατεύχεσθαι καὶ τῆς ἑαυτῶν πικρίας συνεργὸν ποιεῖσθαι τοῦ θεοῦ τὴν ἀγαθότητα. ἀλλ᾽ ἡμεῖς, ὡς ἂν ἐκ παρόδου τοὺς ἐκ τῆς τοιαύτης ἀφορμῆς πρὸς τὸ ἐναντίον ὁδηγουμένους παύσαιμεν βαττολογοῦντας, τοῦτο περὶ ἑκάστου τῶν μνημονευθέντων παραθησόμεθα.

1132 M. Οὐδεὶς τῶν ἀληθῶς ἁγίων τῶν τῷ ἁγίῳ πνεύματι θεοφορουμένων, ὧν αἱ ῥήσεις κατὰ θείαν οἰκονομίαν εἰς νουθεσίαν τῶν ἐφεξῆς ἀνεγράφησαν, ἐπί τινι κακῷ τὴν σπουδὴν ἔχων ἐπιδειχθήσεται, ἀλλ᾽ ἅπας αὐτοῖς ὁ σκοπὸς τῶν λόγων πρὸς διόρθωσιν τῆς ἐμπολιτευομένης τῇ φύσει κακίας βλέπει. ὥσπερ τοίνυν ὁ εὐχόμενος μὴ εἶναι νοσοῦντας, μὴ εἶναι πτωχεύοντας, οὐ τῶν ἀνθρώπων ἀναίρεσιν ἀλλὰ τῆς νόσου καὶ τῆς πτωχείας ἀφανισμὸν ἐπιθυμεῖ γενέσθαι, οὕτω καὶ τῶν ἁγίων ἕκαστος, τὸ τῇ φύσει ἐχθρὸν καὶ πολέμιον εἰς ἀφανισμὸν ἐλθεῖν δι᾽ εὐχῆς ἔχοντες, ὑπόνοιαν τοῖς ἀπαιδευτοτέροις παρέχουσιν ὡς κατὰ ἀνθρώπων πικραινόμενοί τε καὶ χαλεπαίνοντες. ὅ τε γὰρ ψαλμῳδός, εἰπὼν ὅτι Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς, τὴν ἁμαρτίαν ἐκλείπειν καὶ τὴν ἀνομίαν εὔχεται. οὐ γὰρ ἄνθρωπος ἀνθρώπου πολέμιος, ἀλλ᾽ ἡ κατὰ κακίαν τῆς προαιρέσεως κίνησις εἰς ἐχθροῦ τάξιν τὸ τῇ φύσει συνημμένον κατέστησεν. τὸ κακὸν τοίνυν ἐκλείπειν εὔχεται, ὁ δὲ ἄνθρωπος κακὸν οὐκ ἔστιν· πῶς γὰρ ἂν εἴη κακὸν τοῦ ἀγαθοῦ τὸ ὁμοίωμα; οὕτως κἂν αἰσχύνην καὶ ἐντροπὴν τῶν ἐχθρῶν κατεύχηται δείκνυσί σοι τὸ στῖφος τῶν ἐναντίων τῶν ἐκ τοῦ ἀοράτου τῇ ἀνθρωπίνῃ προσπολεμούντων ζωῇ. περὶ ὧν καὶ ὁ Παῦλος γυμνότερον διεξέρχεται, τὴν πάλην εἶναι λέγων ἡμῖν πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, πρὸς τὰ πνευματικὰ

17 Ps 103, 35 28 Eph 6, 12

1 ποιεῖσθαι: γενέσθαι v 9 ἀλλὰ πᾶς WΨv 16 ἀπαιδεύτοις Φ 17 ὅτι om Φ 17-18 ἐκλίποιεν Ψv 19 τὴν ante ἀνομίαν om v 20 ἀνθρώπου ΦΖ: ἀνθρώπων Ψv 23 κακὸν εἴη Φ 24 κἂν: καὶ Ζ 25 κατεύχεται ΦΖ 26 ἀοράτου ΦΖ: ἀοράτου ἐχθροῦ Ψv 28 εἶναι om Φ λέγων εἶναι v πρὸς τὰς alt: καὶ Φ 29 τοὺς om Φ κόσμου: σκότους VM σκότους τοῦ αἰῶνος ACZ (ut vid)

τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. τὰς γὰρ δαιμονιώδεις ἐπιβουλάς, δι᾽ ὧν ἐπάγεται τοῖς ἀνθρώποις τὰ πονηρὰ πρὸς ἁμαρτίαν συμπτώματα, συντυχίαι θυμώδεις, ἐπιθυμιῶν ἀφορμαί, φθόνου καὶ μίσους καὶ ὑπερηφανίας καὶ τῶν τοιούτων κακῶν ὑπόθεσις, ταῦτα ὁρῶν ὁ μέγας προφήτης τὴν ἑκάστου ψυχὴν δι᾽ ἐπιβουλῆς περιτρέχοντα εἰς αἰσχύνην ἐλθεῖν εὔχεται ὁ κατὰ τῶν ἐχθρῶν τούτων εὐχόμενος. τοῦτο δέ ἐστι τὸ αὐτὸν διασωθῆναι. κατὰ φύσιν γὰρ ἕπεται τῷ ἡττηθέντι κατὰ τὴν πάλην τὸ ἐπαισχυνθῆναι τῷ πτώματι, ὥσπερ τῷ κεκρατηκότι τὸ ἐπὶ τῇ νίκῃ ἀγάλλεσθαι. καὶ ὅτι ταῦτα οὕτως ἔχει δηλοῖ τῆς εὐχῆς τὸ εἶδος. Αἰσχυνθήτωσαν γάρ, φησί, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντές μου τὴν ψυχήν. οὐ γὰρ κατεύχεται τῶν εἰς χρημάτων ζημίαν ἐπιβουλευόντων ἢ περὶ γῆς ὅρων ἀμφισβητούντων ἢ τῶν κατὰ τοῦ σώματος αὐτοῦ κακίαν ἐπιδεικνυμένων τινά, ἀλλὰ τῶν εἰς ψυχὴν ἐπιβουλευόντων. τίς δὲ ψυχῆς ἐπιβουλή; τίς ἄλλη εἰ μὴ θεοῦ ἀλλοτρίωσις; ἀλλοτριοῦται δὲ ἀπὸ θεοῦ ἀνθρωπίνη ψυχὴ οὐκ ἄλλως ἢ διὰ τῆς ἐμπαθοῦς διαθέσεως. ἐπεὶ οὖν ἀπαθὲς τὸ θεῖον, πᾶν τὸ ἐν πάθει γινόμενον τῆς πρὸς τὸν θεὸν συμφυΐας ἀποσχοινίζεται. ὡς ἂν οὖν μὴ τοῦτο πάθοι αἰσχύνην τῶν ἀντιπαλαιόντων εὔχεται. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἑαυτῷ νίκην κατὰ τῶν πολεμίων ἐπεύξασθαι· οἱ δὲ πολέμιοι τὰ πάθη εἰσίν. οὕτως ὁ Ἱερεμίας ζῆλον τῆς θεοσεβείας ἔχων, εἰδωλομανοῦντος τηνικαῦτα τοῦ βασιλέως καὶ τῶν ὑποχειρίων

12 Ps 34, 4 23 sqq cf Ier 10, 1 sqq

1 ὑπουρανίοις Z (ut vid) γὰρ om v 4 καὶ post φθόνου et μίσους ΨZ: om Φ 5 πρὸς ante ταῦτα add VM προφήτης ΨZ: προφήτης δαβὶδ (vel δαυὶδ) Φ 8 ἕπεται ΦZ: ἐπάγεται Ψv 9 αὐτοῦ post πτώματι add Ψv 10 ὥσπερ: ὡς καὶ v τῷ om Ψ κεκρατηκότι: νικῶντι v ἀγαλλιᾶσθαι Φ 12-13 τὴν ψυχήν μου Φ 14 διαμφισβητούντων Ψv 15 εἰς om v 16 τίς pr: τῆς Ψv ἡ ante ψυχῆς add Φ 19 πᾶν τὸ—γινόμενον ΦZ: πάντοτε ἀεὶ ὁ—γινόμενος Ψv (ὁ ἀεὶ v) ἐν πάθει Ψ (ἐν ex ἐμ corr O): ἐμπαθὲς Φ 19 τὸν θεὸν ΦZ: τὸ θεῖον Ψv συναφείας ΨZv (cf Or cat 35, 13 al; De perf VIII i 205, 5-6) 22 ἐπεύξασθαι: δοθῆναι AZ 23 τῆς om Φ

αὐτῷ συνδιαστραφέντων, οὐκ ἴδιόν τι θεραπεύει πάθος 1133 M. ἀλλ᾽ ὑπὲρ τοῦ κοινοῦ τῶν ἀνθρώπων προσάγει τὴν δέησιν, τῇ κατὰ τῶν ἀσεβησάντων ὁρμῇ ἅπαν σωφρονισθῆναι ἀξιῶν τὸ ἀνθρώπινον. ὡσαύτως δὲ καὶ ὁ προφήτης Ὠσηέ, πολυγονοῦσαν τότε τὴν κακίαν ἐν τοῖς Ἰσραηλίταις ὁρῶν, τῇ ἀτεκνίᾳ καταδικάζει καὶ τὰς πικρὰς θηλὰς τῆς ἁμαρτίας ξηρανθῆναι βούλεται ὡς ἂν μήτε τίκτοιτο ἐν τοῖς ἀνθρώποις τὸ κακὸν μήτε τρέφοιτο. διὰ τοῦτο ὁ προφήτης, Δὸς αὐτοῖς, κύριε, μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηρούς. καὶ εἴ τις ἄλλος ἐν τοῖς ἁγίοις εὑρεθείη θυμοῦ τινα κατηγορίαν καὶ ἔμφασιν ἔχων, πρὸς τὴν τοιαύτην πάντως διάνοιαν βλέπει ἥτις ἐξορίζει τὸ κακόν, οὐκ ἐπιτρίβει τὸν ἄνθρωπον. Θεὸς θάνατον οὐκ ἐποίησεν. ἀκούεις τῆς ἀποφάσεως; πῶς οὖν εἰς τὸν κατὰ τῶν ἰδίων αὐτοῦ ἐχθρῶν θάνατον παρακαλεῖν ἔμελλε τὸν θεὸν τὸν τῆς τοῦ θανάτου ἐνεργείας ἀλλότριον; οὐ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων. ἀλλ᾽ ὁ βαττολογῶν καὶ κατὰ τῶν ἰδίων ἐχθρῶν τὴν τοῦ θεοῦ φιλανθρωπίαν παρακινῶν ἐπιτερφθῆναι ταῖς ἀνθρωπίναις αὐτὸν συμφοραῖς ἐγκελεύεται.

Ἀλλ᾽ ἤδη τινές, φησί, καὶ ἀρχῶν καὶ πλούτου καὶ τιμῶν ἠξιώθησαν, εὐχῇ πρὸς τοῦτο χρησάμενοι, καὶ θεοφιλεῖς εἶναι διὰ τῆς τοιαύτης εὐκληρίας ὑπενοήθησαν. πῶς οὖν ἀπείργεις ἡμᾶς, εἴποι τις ἄν, τοῦ περὶ τῶν τοιούτων προσάγειν τῷ θεῷ τὰς δεήσεις; ἀλλὰ τὸ μὲν πάντα τῆς θείας ἐξῆφθαι βουλῆς καὶ ἄνωθεν οἰκονομεῖσθαι τὸν τῇδε βίον παντί που δῆλόν ἐστι καὶ οὐκ ἄν τις ἀντείποι τῷ λόγῳ. τῶν δὲ τοιούτων τῆς εὐχῆς κατορθωμάτων ἄλλας αἰτίας ἐμάθομεν, οὐχ ὡς ἀγαθὰ πάντως τοῦ θεοῦ ταῦτα τοῖς αἰτοῦσι νέμοντος,

12-13 Sap 1, 13

1 αὐτοῦ Φ συνδιαστρεφόντων Φ συνδιατραφέντων v 2 ἀλλὰ περὶ v τοῦ om Φ 4 ὡσηέ: ἀμώς (vel -ῶς) ΦΖ ὃς καὶ v 5 τῇ om Ψv 6 δικαίως ante καταδικάζει add v 7 μήτε: μηκέτι ΦΖ ἐν om Ψv 8 ὁ om v φησὶ post αὐτοῖς add v 10 εὑρεθείη ΦΖ: εὑρεθείη τοιοῦτος λόγος Ψv ἔμφασιν: σημασίαν v 11-12 ἣ ἐξορίζοι Ψv ἐπιτρίβοι v 16 ἀλλ᾽ ὁ: ἀλλὰ Ψv 19 πλούτου καὶ τιμῶν ΦΖ: τιμῶν καὶ πλούτου Ψv 22 τοῦ om v 23 τῆς om Ψv 24 που om Ψv 27 ταῦτα τοῦ θεοῦ Φ

ἀλλ' ὡς ἂν διὰ τούτων βεβαιωθείη τοῖς ἐπιπολαιοτέροις ἡ πρὸς τὸν θεὸν πίστις, καὶ κατ' ὀλίγον ἐν ταῖς μικροτέραις τῶν αἰτήσεων τὸ ἐπακούειν τὸν θεὸν τῶν ἱκεσιῶν τῇ πείρᾳ μανθάνοντες ἀνέλθοιμέν ποτε πρὸς τὴν τῶν ὑψηλῶν τε καὶ θεοπρεπῶν δωρημάτων ἐπιθυμίαν. καθάπερ ἐπὶ τῶν ἡμετέρων τέκνων ὁρῶμεν, ἃ ἕως μὲν ἐπὶ τῇ μητρῴᾳ θηλῇ προσφύεται, ὅσον χωρεῖ ἡ φύσις τοσοῦτον παρὰ τῆς γεννησαμένης ἐπιζητοῦσιν· εἰ δὲ ὑφαδρυνθείη τὸ νήπιον καί τινα προσλάβοι τοῦ φθέγγεσθαι δύναμιν, καταφρονεῖ μὲν τῆς θηλῆς, ζητεῖ δέ τι τοιοῦτον, ἢ προκόσμιον ἢ ἱμάτιον ἤ τινα τοιαῦτα οἷς ὁ τῶν νηπίων ὀφθαλμὸς ἐπιτέρπεται· ἐπειδὰν δὲ εἰς ἡλικίαν ἔλθῃ καὶ συναυξηθῇ τῷ σώματι ἡ διάνοια, τότε πάσας τὰς παιδικὰς ἐπιθυμίας καταλιπὼν τὰ τῷ τελείῳ πρέποντα βίῳ παρὰ τῶν γονέων αἰτήσεται· οὕτω καὶ ὁ θεὸς ἐθίζων τὸν ἄνθρωπον διὰ πάντων πρὸς αὐτὸν βλέπειν διὰ τοῦτο πολλάκις οὐδὲ τῶν μικροτέρων αἰτήσεων ἀνήκοος γίνεται ὡς ἂν ἐπὶ τὴν τῶν ὑψηλοτέρων ἐπιθυμίαν διὰ τῆς ἐν τοῖς μικροῖς εὐεργεσίας τὸν τετυχηκότα τῆς χάριτος προσκαλέσαιτο. καὶ σὺ τοίνυν, εἰ ὁ δεῖνα γέγονε θείᾳ προνοίᾳ γνώριμός τε καὶ περίβλεπτος ἐξ ἀφανεστέρων ἢ ἄλλο τι τῶν κατὰ τὸν βίον
1136 M. τοῦτον ἐπιζητουμένων ἐκτήσατο, ἀρχὴν ἢ πλοῦτον ἢ περιφάνειαν, νόει τὸν σκοπόν, ὅτι σοι ἀπόδειξις τῆς ἐν τοῖς μεγάλοις δυνάμεως τοῦ θεοῦ ἡ περὶ ταῦτα φιλανθρωπία γίνεται, ἵνα διὰ τοῦ τυχεῖν τῶν παιδικῶν ἀθυρμάτων περὶ τῶν μειζόνων καὶ τελειοτέρων προσαγάγῃς τῷ πατρὶ τὰς αἰτήσεις. ταῦτα δέ ἐστιν ὅσα εἰς ψυχὴν φέρει τὸ κέρδος.

Καὶ γὰρ ἂν εἴη τῶν ἀλογωτάτων προσελθόντα τῷ θεῷ ζητεῖν παρὰ τοῦ ἀϊδίου τὰ πρόσκαιρα, παρὰ τοῦ ἐπουρανίου

1 βεβαιωθῇ WΨv   6 ἃ ΨZΣ: ἅπαντα VW ἃ πάντα M   ἕως ΦΣ: τέως Ψv   ἐπὶ om Ψv   8 ἐπιζητοῦσιν V (ex -σα corr V) MΣ: ἐπιζητοῦσα WZ (vel ἐπιζητεῖ Z) ἐπιζητοῦντα Ψv   ὑφανδρυνθείη VM ὑπαδρυνθείη Ψ (supra α sscr ν R) ὑπανδρυνθείη v   10 προκόμιον v   13 καταλειπὼν (sic) V (sed ε eras V) W   καταλιπὸν M   πρέποντα ΦZ: βλέποντα Ψv   17 τῇ—ἐπιθυμίᾳ Ψv   18 προσκαλέσηται Φ   22-23 ἐν τοῖς μεγάλοις: μεγάλης v   26 αἰτήσεις: δεήσεις Φ   27 τῷ om Φ

τὰ ἐπίγεια, παρὰ τοῦ ὑψηλοῦ τὰ χαμαίζηλα, παρὰ τοῦ βασιλείαν οὐρανῶν δωρουμένου τὴν γηΐνην ταύτην καὶ ταπεινὴν εὐκληρίαν, παρὰ τοῦ τὰ ἀναφαίρετα χαριζομένου τὴν ἐν ὀλίγῳ τῶν ἀλλοτρίων χρῆσιν, ὧν ἀναγκαία μὲν ἡ ἀφαίρεσις, πρόσκαιρος δὲ ἡ ἀπόλαυσις, ἐπικίνδυνος δὲ ἡ οἰκονομία. καλῶς δὲ παρίστησι τῇ προσθήκῃ τὸ ἄτοπον, εἰπών, Ὥσπερ οἱ ἐθνικοί. τὸ γὰρ περὶ τὰ φαινόμενα τὴν σπουδὴν ἔχειν ἴδιόν ἐστι τῶν μηδεμίαν τοῦ μέλλοντος αἰῶνος ἑαυτοῖς ὑποτιθεμένων ἐλπίδα, μὴ κρίσεως φόβον, μὴ γεέννης ἀπειλήν, μὴ ἀγαθῶν προσδοκίαν, μὴ ἄλλο τι τῶν κατὰ τὴν ἀνάστασιν ἐλπιζομένων, οἳ βοσκημάτων δίκην πρὸς τὸν παρόντα ὁρῶντες βίον ὅπερ ἂν λαιμῷ καὶ κοιλίᾳ καὶ ταῖς λοιπαῖς τοῦ σώματος ἡδυπαθείαις χαρίσωνται τοῦτο ἐν ἀγαθῶν κρίνουσι μοίρᾳ, ἢ τὸ πρωτεῦσαί τινων καὶ τὸ ὑπὲρ τοὺς λοιποὺς νομισθῆναι, ἢ πολλοῖς ἐπικαθευδῆσαι ταλάντοις, ἢ εἴ τι ἄλλο τῆς βιωτικῆς ἀπάτης ἐστίν. οἷς εἴ τις λαλοίη περὶ τῆς μελλούσης ἐλπίδος λῆρος ἄντικρυς εἶναι δοκεῖ, παράδεισον καὶ βασιλείαν καὶ οὐρανῶν διαγωγὴν καὶ τὰ τοιαῦτα διεξερχόμενος. ἐπειδὴ τοίνυν ἴδιόν ἐστι τῶν μὴ ἐχόντων ἐλπίδα τὸ προστετηκέναι τῇ παρούσῃ ζωῇ, καλῶς τὰ περιττὰ καὶ μάταια τῆς ἐπιθυμίας, ἃ δι᾽ εὐχῆς οἴονται κατορθοῦν ἑαυτοῖς οἱ φιλήδονοι, τῶν ἐθνικῶν ὁ λόγος εἶναί φησι τῶν νομιζόντων ἐκ τοῦ προσλιπαρεῖν περὶ τῶν ἀτόπων συνεργὸν ἐπὶ τὰ μὴ δέοντα τὸ θεῖον ἕξειν. Δοκοῦσι γάρ, φησίν, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. ἀλλὰ ταῦτα μὲν ἃ δεῖ μὴ αἰτεῖν, δι᾽ ὧν ἐξητάσαμεν ἐδιδάχθημεν. οἵαν δὲ προσήκει τῷ θεῷ προσάγειν τὴν δέησιν ἐν τοῖς ἐφεξῆς ἀκουσόμεθα, χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

8-9 cf I Thess 4, 13

1 ὑψίστου v 2-3 τὴν—χαριζομένου om Z 3 τὰ om Ψv 4 μὲν ΨΖΣ: μὲν πολλάκις Φ 7 εἰπών—20, 16 ἀπηχούσας uno fol deperd desunt O 13 χαρίζωνται v 16 βιοτικῆς v 17 λαλοίη: ἂν λέγοι Ψ ἂν λέγῃ v 26 μὴ αἰτεῖν: γινώσκειν Ψv μὴ γινώσκειν ΖΣ 28 ἀκουσώμεθα Ψ 29 τῶν αἰώνων om MZ ἐτελεώθη post ἀμήν add Z ἐτελεώθη λόγος α᾽ τῆς προσευχῆς ὅτι πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ add Σ

ΛΟΓΟΣ Β′

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὅτε προσῆγεν ὁ μέγας Μωϋσῆς τῇ κατὰ τὸ ὄρος μυσταγωγίᾳ τὸν Ἰσραηλίτην λαόν, οὐ πρότερον αὐτοὺς τῆς θεοφανείας ἠξίωσε πρὶν ἁγνείᾳ τε καὶ περιρραντισμῷ νομοθετῆσαι τῷ λαῷ τὸ καθάρσιον· καὶ οὐδὲ οὕτως ἐθάρσησαν τῆς θείας δυνάμεως τὴν ἐμφάνειαν ἀλλὰ πρὸς πᾶν κατεπλάγησαν τὸ φαινόμενον, τὸ πῦρ, τὸν γνόφον, τὸν καπνόν, τὰς σάλπιγγας, καὶ πρὸς ἑαυτοὺς πάλιν ἀποστραφέντες ἠξίουν τὸν νομοθέτην 1137 M. αὐτοῖς μεσίτην γενέσθαι τοῦ θείου βουλήματος, ὡς οὐχ ἱκανῆς οὔσης τῆς δυνάμεως αὐτῶν προσεγγίσαι τῷ θεῷ καὶ θείαν ἐμφάνειαν δέξασθαι. ὁ δὲ ἡμέτερος νομοθέτης, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, προσάγειν ἡμᾶς τῇ θείᾳ χάριτι μέλλων, οὐχὶ Σίναιον ἡμῖν ὄρος τῷ λόγῳ προδείκνυσι γνόφῳ κεκαλυμμένον καὶ πυρὶ καπνιζόμενον οὐδὲ σαλπίγγων φωνὰς ἄσημόν τι καὶ καταπληκτικὸν ἀπηχούσας, οὐδὲ τριημέροις ἁγνείαις καὶ ὕδατι ῥύπον ἐκπλύνοντι τὴν ψυχὴν ἐκκαθαίρει, οὐδὲ πᾶσαν τὴν ἐκκλησίαν ἐν τῇ ὑπωρείᾳ καταλιπὼν ἑνὶ μόνῳ τὴν ἄνοδον ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους χαρίζεται τὴν κεκαλυμμένην τῷ γνόφῳ τῷ τὴν δόξαν θεοῦ περικρύπτοντι· ἀλλὰ πρῶτον μὲν ἀντὶ τοῦ ὄρους ἐπ᾽ αὐτὸν ἀνάγει τὸν οὐρανόν, βατὸν τοῖς ἀνθρώποις αὐτὸν διὰ τῆς ἀρετῆς καταστήσας· ἔπειτα δὲ οὐ θεατὰς μόνον τῆς θείας δυνάμεως ἀλλὰ καὶ κοινωνοὺς ἀπεργάζεται, καὶ εἰς συγγένειαν τρόπον τινὰ τῆς ὑπερκειμένης φύσεως τοὺς προσιόντας ἄγει· οὐδὲ γνόφῳ

2 Matth 6, 9; cf Luc 11, 2   3 sqq Ex 19, 2 sqq; cf Hebr 12, 18 sqq

1 λόγος β′: τοῦ αὐτοῦ εἰς τὴν προσευχὴν (εἰς τὸ πάτερ ἡμῶν A) ὁμιλία β′ (ὁμιλία β′ ante εἰς coll W) ΦA om Ψ (sed λόγος λε′ in marg scr K) ὁμιλία β′ C fort in marg sup scr E   λόγος (ὑφήγησις λόγου Σ) β′ τῆς προσευχῆς ὅτι ZΣ   2 πάτερ—οὐρανοῖς om A   τῷ οὐρανῷ ZΣ   2-3 πάτερ—οὐρανῷ ante ὅτε iterat Z   προσῆγεν ΨZ: ἦγεν Φ   4 αὐτὸν K   5 τε om Φ   9 ἑαυτούς: τούτους v   ἀποστραφεὶς v   10 μεσίτην αὐτοῖς Φ   13 ὁ: καὶ v   13-14 τῇ θείᾳ χάριτι: τῷ θεῷ ΦZ   παραδείκνυσι v   17-18 ἐκκαθάρας v   18 ἐν om Φ   19 μόνον VM   20 τοῦ θεοῦ Φ   21 ἐπ᾽ om v   ἀνάγει ΨZ: ἄγει Φ   25 ἄγων Φ (in ἄγει corr V)

καταχρύπτει τὴν ὑπερέχουσαν δόξαν ὡς δυσθεώρητον τοῖς ἀναζητοῦσιν εἶναι, ἀλλὰ τῷ τηλαυγεῖ φωτὶ τῆς διδασκαλίας τὸν γνόφον καταφωτίσας ἐπὶ λαμπρᾶς αἰθρίας τοῖς καθαροῖς τὴν καρδίαν τὴν ἄφραστον καθορᾶσθαι δόξαν ἐποίησεν· ὕδωρ δὲ περιρραίνειν οὐκ ἐξ ἀλλοτρίων ναμάτων ἀλλὰ τὸ ἐν ἡμῖν αὐτοῖς ἀναβρύον χαρίζεται, εἴτε τὰς τῶν ὀφθαλμῶν τις λέγοι πηγὰς εἴτε τὴν καθαρὰν τῆς καρδίας συνείδησιν, μηδεμίαν ἰλὺν ἀπὸ κακίας ἐπαγομένην· ἁγνείαν δὲ οὐκ ἀπὸ τῆς ἐννόμου τῶν γαμετῶν ὁμιλίας ἀλλ' ἀπὸ πάσης ὑλικῆς τε καὶ ἐμπαθοῦς διαθέσεως νομοθετήσας, οὕτω προσάγει διὰ τῆς προσευχῆς τῷ θεῷ. αὕτη γὰρ τῶν ῥημάτων ἡ δύναμις, δι' ὧν οὐχὶ φωνάς τινας ἐν συλλαβαῖς ἐκφωνουμένας μανθάνομεν ἀλλ' ἐπίνοιαν τῆς πρὸς τὸν θεὸν ἀναβάσεως δι' ὑψηλῆς πολιτείας κατωρθωμένην.

Ἔξεστι δὲ δι' αὐτῶν τῶν τῆς προσευχῆς λόγων τὴν θείαν μυσταγωγίαν κατανοῆσαι. Ὅταν προσεύχησθε, φησίν. οὐκ εἶπεν, Ὅταν εὔχησθε, ἀλλ' Ὅταν προσεύχησθε, ὡς τοῦ κατὰ τὴν εὐχὴν ἤδη προκατορθωθῆναι προσήκοντος πρὶν διὰ τῆς προσευχῆς τῷ θεῷ προσεγγίσαι. τίς δὲ ἡ τῶν ὀνομάτων διαφορά; ὅτι εὐχὴ μέν ἐστιν ἐπαγγελία τινὸς τῶν κατ' εὐσέβειαν ἀφιερουμένων· προσευχὴ δὲ αἴτησις ἀγαθῶν μετὰ ἱκετηρίας προσαγομένη θεῷ. ἐπεὶ οὖν παρρησίας ἡμῖν χρεία ὅταν προσίωμεν θεῷ τὰς ὑπὲρ τῶν λυσιτελούντων ἱκετηρίας ποιούμενοι, ἀναγκαίως τὸ κατὰ τὴν εὐχὴν προηγήσεται ἵνα τὸ παρ' ἑαυτῶν ἐκτελέσαντες οὕτως θαρσοῦντες τὸ παρὰ τοῦ θεοῦ ἀντιλαβεῖν ἀξιώσωμεν. διό φησιν ὁ προφήτης ὅτι Τὰς εὐχάς μου ἀποδώσω σοι ἃς διέστειλε τὰ

3-7 cf Hebr 10, 22; I Tim 1, 5 16 Luc 11, 2; cf Matth 6, 9 26 sqq Ps 65, 13-14

4 δόξαν καθορᾶσθαι Ψv 5 περιρ(ρ)αίνων Φ(-ον V)Z 6 τις om Φ 7 λέγει v 8 ἀπὸ κακίας—δὲ οὐκ om v ἐπαγομένης V οὐκ ΦZ: οὐ μόνον ΨC 9 ὁμιλίας ΨZ: ὁμιλίας ἐπαγομένην Φ (ex -νης corr V) (cf 8) 11 τῆς om Φ 13 μανθάνομεν ΦZ: μανθάνομεν διὰ τοῦ λόγου Ψv 14 κατορθουμένην Φ 16 φησίν: οὕτω λέγετε καὶ ZΣ 17 τοῦ: τούτου ΦZΣ (cf 24) 18 κατὰ τὴν εὐχὴν om ZΣ εὐχὴν: ἀρχὴν Φ κατορθωθῆναι Φ (cf 22, 16) προσηκόντως Ψ (corr K[2]) 19 ἡ om v 20 ὀνομάτων ΦZΣ: ὀνομάτων τούτων κατὰ τὸ σημαινόμενόν ἐστι Ψv 24 τὸ: τὰ Φ

χείλη μου· καὶ Εὔξασθε καὶ ἀπόδοτε κυρίῳ τῷ θεῷ ἡμῶν. καὶ πολλαχοῦ τῆς γραφῆς τὴν τοιαύτην ἔστιν ἰδεῖν τῆς εὐχῆς σημασίαν, ὥστε γνῶναι ἡμᾶς ὅτι εὐχὴ μέν ἐστι, καθὼς εἴρηται, χαριστήριος δωροφορίας ἐπαγγελία· ἡ δὲ προσευχὴ 1140 M. τὴν μετὰ τὴν ἐκπλήρωσιν τῆς ἐπαγγελίας τῷ θεῷ γινομένην πρόσοδον διερμηνεύει. διδάσκει οὖν ἡμᾶς ὁ λόγος μὴ πρότερον αἰτεῖσθαί τι παρὰ τοῦ θεοῦ πρὶν αὐτῷ τι τῶν κεχαρισμένων δωροφορῆσαι. εὔξασθαι γὰρ δεῖ πρότερον, εἶτα προσεύξασθαι, ὡς εἴ τις λέγοι προηγεῖσθαι τὴν σπορὰν τῆς ἐπικαρπίας. οὐκοῦν χρὴ καταβαλεῖν πρότερον τῆς εὐχῆς τὰ σπέρματα καὶ οὕτως αὐξηθεῖσαν τὴν καταβολὴν τῶν σπερμάτων καρπώσασθαι διὰ τῆς προσευχῆς τὴν χάριν ἀντιλαμβάνοντα. ὡς οὖν οὐκ ἐσομένης ἐν παρρησίᾳ τῆς ἐντεύξεως εἰ μὴ ἐπὶ προληφθείσῃ εὐχῇ τινι καὶ δωροφορίᾳ ἡ πρόσοδος γένοιτο, ἀναγκαίως ἡ εὐχὴ τῆς προσευχῆς προηγήσεται.

Ὡς οὖν ἤδη τούτου προκατορθωθέντος φησὶ πρὸς τοὺς μαθητὰς ὁ κύριος, Ὅταν προσεύχησθε λέγετε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; φησί που τῆς ψαλμῳδίας ὁ μέγας Δαβίδ. εἴποιμι δ' ἂν καὶ αὐτὸς τολμήσας τὴν ἴσην φωνήν, Τίς δώσει μοι τὰς πτέρυγας ἐκείνας πρὸς τὸ δυνηθῆναι τῷ ὕψει τῆς τῶν ῥημάτων μεγαλοφυΐας συναναπτῆναι κατὰ διάνοιαν, ὥστε καταλιπεῖν μὲν τὴν γῆν πᾶσαν διαπερᾶσαί τε πάντα τὸν ἐν μέσῳ κατακεχυμένον ἀέρα· καταλαβεῖν δὲ τὸ αἰθέριον κάλλος καὶ ἐπὶ τὰ ἄστρα φθάσαι καὶ πᾶσαν τὴν ἐν αὐτοῖς διακόσμησιν κατιδεῖν·

1 Ps 75, 12 19 Ps 54, 7 23-24 cf Hom Il VIII, 50

2 καὶ om Φ ἰδεῖν: εὑρεῖν ΦZ 2-3 τῆς εὐχῆς ΨZ: om Φ σημασίαν post τοιαύτην coll Φ ὥστε: ὡς v 4 χαριστηρίου C δωροφορίας om Φ (cf 8 et 14) 6 ἡμᾶς ΨZ: om Φ 7 τι pr om ΦZ αὐτῷ ΨZ: αὐτόν Φ 8 δεῖ: χρὴ Ψv 9 λέγει v 10 πρότερον καταβαλεῖν Φ 13 οὖν ΨZ: om Φ 15 προηγήσατο Φ 16 κατορθωθέντος Ψv (cf 21, 18) 20 τὰς om Φv 21 ἐκείνας: ὡσεὶ περιστερᾶς Φ τοιαύτας Z με ante τῷ add Φ 22-23 πᾶσαν τὴν γῆν Φ τε ΨZ: δὲ Φ 23 κεχυμένον Ψv 24 καταλαβεῖν—κάλλος om Z τὸ—ἐπὶ om Φ 25 φθάσαι ΨZ: om Φ κατιδεῖν om ΦZ

στῆναι δὲ μηδὲ ἐν τούτοις ἀλλὰ διεξελθεῖν καὶ διὰ τούτων, καὶ πάντων τῶν κινουμένων τε καὶ μεθισταμένων ἐκτὸς γενέσθαι καὶ καταλαβεῖν τὴν ἑστῶσαν φύσιν, τὴν ἀμετακίνητον δύναμιν τὴν ἐφ᾽ ἑαυτῆς καθιδρυμένην τὴν πάντα ἄγουσάν τε καὶ φέρουσαν ὅσα ἐν τῷ εἶναί ἐστιν, πάντα τὰ τοῦ ἀφράστου θελήματος τῆς θείας σοφίας ἐξηρτημένα· ὥστε πάντων τῶν ἀλλοιουμένων τε καὶ μεθισταμένων πόρρω τῇ διανοίᾳ γενόμενον ἐν ἀτρέπτῳ τε καὶ ἀκλινεῖ τῇ τῆς ψυχῆς καταστάσει τὸν ἄτρεπτον τε καὶ ἀναλλοίωτον διὰ τῆς γνώμης πρότερον οἰκειώσασθαι, εἶθ᾽ οὕτω τῇ οἰκειοτάτῃ προσηγορίᾳ ἐπικαλέσασθαι καὶ εἰπεῖν, Πάτερ; οἵας γὰρ τῷ λέγοντι χρεία ψυχῆς, ὅσης τῆς παρρησίας, οἵας τῆς συνειδήσεως ἵνα θεὸν νοήσας, ὡς ἔστι δυνατόν, ἐκ τῶν ἐπινοουμένων αὐτῷ προσηγοριῶν πρὸς τὴν σύνεσιν τοῦ ἀφράστου χειραγωγούμενος καὶ μαθὼν ὅτι ἡ θεία φύσις, ὅ τί ποτέ ἐστιν αὐτό, ἀγαθότης ἐστίν, ἁγιασμός, ἀγαλλίαμα, δύναμις, δόξα, καθαρότης, ἀϊδιότης, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα, καὶ ὅσα τοιαῦτα νενόηται περὶ τὴν θείαν φύσιν διά τε τῆς θείας γραφῆς καὶ διὰ τῶν οἰκείων λογισμῶν κατανοήσας εἶτα τολμήσῃ τὴν τοιαύτην προέσθαι φωνὴν καὶ τὸν τοιοῦτον ἑαυτοῦ κατονομάσαι πατέρα. δῆλον γὰρ ὅτι εἰ μετέχοι τινὸς διανοίας οὐκ ἂν θαρσήσειε μὴ τὰ αὐτὰ καὶ ἐν ἑαυτῷ βλέπων ἐκείνην προέσθαι πρὸς τὸν θεὸν τὴν φωνὴν καὶ εἰπεῖν, Πάτερ. τῆς γὰρ πονηρᾶς προαιρέσεως ὁ ἀγαθὸς κατ᾽ οὐσίαν πατὴρ γενέσθαι φύσιν οὐκ
1141 M. ἔχει, οὔτε τοῦ κατὰ τὸν βίον βεβηλωθέντος ὁ ἅγιος, οὔτε τοῦ

5 cf Plat Leg 896E 7-9 cf Plotin III, vii, 5

2 διὰ ante πάντων add ΦΖ τε om v ἐκτὸς: καὶ ἐντὸς Z 4 ἐφ᾽: ἀφ᾽ v ἱδρυμένην (vel ἡδρ-) Φ (cf Con Eun I^2 136, 19) 7 τῶν om v 7-8 τῆς διανοίας Φ om Z 8 γενόμενον E: γενόμενος ΦΨv ψυχῆς: εὐχῆς VM 9 τὸ C τε om v 10 τῇ οἰκειοτάτῃ ΨΖ (ut vid): τὴν οἰκειότητα τῇ Φ 14 τοῦ ἀφράστου ΦΖ: τῆς ἀφράστου δόξης Ψv 15 αὐτοαγαθότης RKk 18 θείας: ἁγίας ΦΖ 19 διὰ om ΨΖv τολμήσει libri v correxi 20 αὐτοῦ Φ om Z 21 ὅτι ΨΖ: om Φ 22 αὐτῷ V (sed ἑ sscr V)v αυτῶ (sic) W προέσθαι ΨΖ: δύνασθαι προέσθαι Φ 24 προαιρέσεως: πράξεως v κατ᾽ οὐσίαν om ΦΖ (ut vid) κατὰ τὴν οὐσίαν v

περιτρεπομένου ὁ ἀναλλοίωτος, οὔτε τοῦ νεκρωθέντος ἐξ ἁμαρτίας ὁ πατὴρ τῆς ζωῆς, οὔτε τῶν ἐν τοῖς πάθεσι τῆς ἀτιμίας ἀσχημονούντων ὁ καθαρὸς καὶ ἀκήρατος, οὔτε τοῦ πλεονέκτου ὁ εὐεργέτης, οὐδὲ ὅλως τῶν ἔν τινι κακῷ εὑρισκομένων ὁ ἐν παντὶ ἀγαθῷ θεωρούμενος. εἰ γάρ τις, πρὸς ἑαυτὸν βλέπων ἔτι καθαρσίου δεόμενον καὶ τὴν μοχθηρὰν ἑαυτοῦ συνείδησιν ἐπιγινώσκων πλήρη κηλίδων καὶ πονηρῶν ἐγκαυμάτων, πρὶν καθαρθῆναι τῶν τοιούτων τε καὶ τοσούτων κακῶν πρὸς τὴν τοῦ θεοῦ συγγένειαν ἑαυτὸν εἰσποιοῖ καὶ λέγοι, Πάτερ, τῷ δικαίῳ ὁ ἄδικος, τῷ καθαρῷ ὁ ἀκάθαρτος, ὕβρις ἄντικρυς ἂν εἴη καὶ λοιδορία τὰ ῥήματα, εἴπερ τῆς ἰδίας μοχθηρίας πατέρα τὸν θεὸν ὀνομάζοι. ἡ γὰρ τοῦ πατρὸς φωνὴ τὴν αἰτίαν τοῦ ἐξ αὐτοῦ ὑποστάντος διασημαίνει. οὐκοῦν ὁ μοχθηρὸς τὴν συνείδησιν, εἰ πατέρα ἑαυτοῦ τὸν θεὸν λέγοι, οὐδὲν ἕτερον ἢ τῶν ἰδίων κακῶν ἀρχηγόν τε καὶ αἴτιον αὐτὸν εἶναι κατηγορήσει. ἀλλὰ Τίς κοινωνία φωτὶ πρὸς σκότος; φησὶν ὁ ἀπόστολος· ἀλλὰ φωτὶ φῶς προσοικειοῦται καὶ τῷ δικαίῳ τὸ δίκαιον καὶ τῷ καλῷ τὸ καλὸν καὶ τῷ ἀφθάρτῳ τὸ ἄφθαρτον. τὰ δὲ ἐναντία πρὸς τὰ ὁμογενῆ πάντως τὴν συγγένειαν ἔχει. εἰ τοίνυν βαρυκάρδιός τις ὤν, καθώς φησιν ἡ γραφή, καὶ τὸ ψεῦδος ζητῶν κατατολμᾷ τῶν τῆς προσευχῆς ῥημάτων, γινωσκέτω ὅτι οὐ τὸν οὐράνιον ἀλλὰ τὸν καταχθόνιον ὁ τοιοῦτος πατέρα καλεῖ, ὃς αὐτός

2 cf Ioh 5, 26; 6, 57 17 II Cor 6, 14 21 Ps 4, 3

2 ὁ πατὴρ τῆς ζωῆς: ἡ ὄντως ζωή Φ (ὄντος VW in ὄντως corr V) Z 4 οὐδὲ: οὔτε Ψ'v κακῷ: e κακῶν corr V τῶν κακῶν W 6 δεόμενος Ψ'v τὴν om v 8 ἐκκαυμάτων ΦΚ (cf 29, 19) τε καὶ τοσούτων om Φ 9 εἰσποιεῖ Φ 10 λέγει Φ καὶ post ἄδικος add ΦZ 14 εἰ post οὐκοῦν coll Φ non Z 15 λέγοι Ψ'Z: εἶναι λέγοι Φ (cf 25, 9 et 14; 28, 24) λέγει v 16 ἀλλὰ τίς: ἀλλ' οὐδεὶς libri v καὶ πῶς Z ἀλλ' οὔτις k correxi (cf test; De perf VIII i 180, 7-8; μηδενὸς pro μηδεμιᾶς in libris De inst chr ibid 44, 5) 17 τῷ ante φωτὶ add Ψ'v 20 οὐ γὰρ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν post ἔχει add Ψ'v om ΦZ 21 ζητεῖ κατατολμῶν Z κατατολμῶν Φ (-μᾶ V^2) 22 εὐχῆς Φ 23 ἀλλὰ τὸν καταχθόνιον ΦZ: post καλεῖ coll Ψ'v ὃς: ὡς WOR ὃσαυτός ex ὡσαυτώς (sic) ut vid corr V

τε ψεύστης ἐστὶ καὶ τοῦ ἐν ἑκάστῳ συνισταμένου ψεύδους πατὴρ γίνεται, ἐκεῖνος ἁμαρτία καὶ ἁμαρτίας πατήρ. διὰ τοῦτο οἱ ἐμπαθεῖς τὴν ψυχὴν ὀργῆς τέκνα παρὰ τοῦ ἀποστόλου προσαγορεύονται, καὶ ὁ τῆς ζωῆς ἀποστὰς ἀπωλείας υἱὸς ὀνομάζεται, καί τις βλακώδης καὶ θηλυδρίας υἱὸς κορασίων αὐτομολούντων προσηγορεύθη. ὡσαύτως καὶ ἐκ τοῦ ἐναντίου οἱ λαμπροὶ τὴν συνείδησιν υἱοὶ φωτὸς καὶ ἡμέρας προσαγορεύονται, καὶ δυνάμεως υἱοὶ ἕτεροι οἱ πρὸς τὴν θείαν ἰσχὺν ἑαυτοὺς τονώσαντες. ὅταν τοίνυν πατέρα τὸν θεὸν λέγειν ἡμᾶς ἐν τῇ προσευχῇ διδάσκῃ ὁ κύριος, οὐδὲν ἕτερόν μοι δοκεῖ ποιεῖν ἢ τὸν ὑψηλόν τε καὶ ἐπηρμένον νομοθετεῖν βίον. οὐ γὰρ δὴ ψεύδεσθαι διδάσκει ἡμᾶς ἡ ἀλήθεια ὥστε λέγειν ὃ μή ἐσμεν καὶ ὀνομάζειν ὃ μὴ πεφύκαμεν, ἀλλὰ πατέρα λέγοντας ἑαυτῶν τὸν ἄφθαρτόν τε καὶ δίκαιον καὶ ἀγαθὸν ἐπαληθεύειν τῷ βίῳ τὴν ἀγχιστείαν. ὁρᾷς ὅσης ἡμῖν παρασκευῆς ἐστι χρεία, οἵου βίου, πόσης καὶ ποταπῆς ἐστι τῆς σπουδῆς ὥστε πρὸς τοῦτό ποτε τὸ μέτρον τῆς παρρησίας φθάσαι, ὑψωθείσης ἡμῶν τῆς συνειδήσεως, ὡς τολμῆσαι εἰπεῖν τῷ θεῷ, Πάτερ; εἰ γὰρ περὶ τὰ χρήματα βλέποις, ἢ περὶ τὴν βιωτικὴν ἀπάτην ἠσχολημένος εἴης, ἢ τὴν ἐξ ἀνθρώπων δόξαν ἀναζητοίης, ἢ τῶν ἐπιθυμιῶν ταῖς ἐμπαθεστέραις καταμολύνοιο, ἔπειτα τὴν τοιαύτην προσευχὴν διὰ στόματος λάβοις, τί οἴει ἐρεῖν τὸν εἰς τὸν βίον σου βλέποντα

1-2 Ioh 8, 44 3-4 Eph 2, 3 4-5 II Thess 2, 3; cf Ioh 17, 12 5-6 I Regn 20, 30; cf Iudith 16, 12 6-8 I Thess 5, 5; cf Luc 16, 8; Ioh 12, 36; Eph 5, 8 8-9 Iudices 18, 2; 21, 10; II Regn 13, 28; IV Regn 2, 16; cf I Regn 10, 26

6-7 οἱ ante ἐκ coll Φ add ΖΣ 11 νομοθετεῖ VM 12 δεῖ OR (δὴ O²R²)CA ψεύδεσθαι ΨΖ: ψευδὲς Φ ἡμᾶς post λέγειν add Φ 14 λέγοντας ΚΖ: λέγοντες ΦORCv 15 τῷ βίῳ: ἑαυτῶν Φ ἡμᾶς Ζ 16 ἐστι alt om ΦΖ τῆς om MK 17 ποτε ante πρὸς coll Ψv om Ζ 18 φθάσαι ΦΖ: om Ψv ὡς ΦΖ (ut vid): om Ψv 19 ὅτι ante πάτερ add Ψv τὰ om Φ βλέπεις v 20 ἢ pr: εἰ Ψv καὶ εἰ Ζ ἢ alt: καὶ εἰ Ζ 21 ἢ: εἰ Ψv καὶ εἰ Ζ 22 καταμολύνοιο CEZ: καταμολύνῃ Φ δουλεύοις Ψv τὴν om Φ 23 τοῦ στόματος Φ (cf 29, 6) σου om v

καὶ τῆς προσευχῆς ἐπαΐοντα; ἐγὼ μὲν γὰρ τοιούτων τινῶν ῥημάτων ἀκούειν δοκῶ ὡσανεὶ τοῦ θεοῦ πρὸς τὸν τοιοῦτον 1144 M. λέγοντος· Πατέρα καλεῖς ὁ κατεφθαρμένος τῷ βίῳ τὸν τῆς ἀφθαρσίας πατέρα; τί μολύνεις τῇ ῥυπαρᾷ σου φωνῇ τὸ ἀκήρατον ὄνομα; τί καταψεύδῃ τοῦ ῥήματος; τί καθυβρίζεις τὴν ἀμόλυντον φύσιν; εἰ τέκνον ἦς ἐμόν, ἐκ τῶν ἐμῶν ἀγαθῶν ἔδει πάντως καὶ τὸν σὸν βίον χαρακτηρίζεσθαι. οὐκ ἐπιγινώσκω τῆς ἐμῆς φύσεως ἐν σοὶ τὴν εἰκόνα· ἐκ τῶν ἐναντίων οἱ χαρακτῆρες. τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς ζωῆς καὶ θανάτου συγγένεια; τίς οἰκειότης τῷ καθαρῷ τὴν φύσιν πρὸς τὸ ἀκάθαρτον; πολὺ τοῦ εὐεργέτου πρὸς τὸν πλεονέκτην τὸ μέσον. ἄμικτος ἡ τοῦ ἐλεήμονος καὶ τοῦ ἀπηνοῦς ἐναντίωσις. ἄλλος πατὴρ τῶν ἐν σοὶ κακῶν. τὰ γὰρ ἐμὰ γεννήματα τοῖς πατρῴοις ἀγαθοῖς καλλωπίζεται, τέκνον τοῦ ἐλεήμονος ὁ ἐλεήμων καὶ τοῦ καθαροῦ ὁ καθαρός, ὁ φθορᾶς ἀλλότριος τοῦ ἀφθάρτου καὶ τὸ ὅλον ἐξ ἀγαθοῦ ἀγαθὸς καὶ ἐκ δικαίου δίκαιος. ὑμᾶς δὲ οὐκ οἶδα πόθεν ἐστέ. οὐκοῦν ἐπικίνδυνον πρὶν καθαρθῆναι τῷ βίῳ τῆς προσευχῆς ταύτης κατατολμῆσαι καὶ πατέρα ἑαυτοῦ τὸν θεὸν ὀνομάσαι.

᾿Αλλ᾿ ἀκούσωμεν πάλιν τῶν τῆς προσευχῆς ῥημάτων, εἴ τις ἄρα γένοιτο ἡμῖν τῶν κρυφίων τοῦ νοῦ κατανόησις διὰ τῆς συνεχεστέρας ἐπαναλήψεως. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ὅτι μὲν οὖν χρὴ τῷ κατ᾿ ἀρετὴν βίῳ τὸν θεὸν οἰκειώσασθαι μετρίως ἡμῖν διὰ τῶν προλαβόντων ἐξήτασται λόγων. δοκεῖ δέ μοι καὶ βαθυτέραν τινὰ διάνοιαν ὑποσημαίνειν ὁ λόγος· τάχα γὰρ ὑπόμνησιν ἡμῖν ἐμποιεῖ τῆς τε πατρίδος ἧς ἐκπεπτώκαμεν καὶ τῆς συγγενείας ἧς ἐξεβλήθημεν. καὶ γὰρ ἐν τῷ κατὰ τὸν νέον διηγήματι τὸν ἀποστάντα τῆς

26-27 cf Plotin I, vi, 8   28 sqq Luc 15, 11 sqq

1 εὐχῆς Φ   μὲν γὰρ om v   4 ῥυπαρᾷ: μιαρᾷ Φ   6 ἦ σεμνὸν O (ἧς ἐμὸν O[2]) R (ἧς σεμνὸν R[2])   σὺ post ἧς add v   10 τῷ καθαρῷ ΨZ: τοῦ καθαροῦ Φ   11 εὐεργετοῦντος Ψ   14 ἐγκαλλωπίζεται Φ 15 φθόρος ORv   17 ὑμᾶς ΨZ: ὑμεῖς Φ   20 πάλιν ΦZ: post ῥημάτων coll Ψv   εὐχῆς VM   21 εἴ τις ἄρα: ὡς ἄν τις ΦZ   νοῦ: νοὸς Φ   26 τάχα ΦZ: ταῦτα Ψv   ἡμῖν ΨZ: om Φ   τε om Φ 27 εὐγενείας ΨZv (cf 30, 3)   ἀπεβλήθημεν Ψv

πατρῴας ἑστίας καὶ πρὸς τὸν χοιρώδη βίον αὐτομολήσαντα τὴν ἀνθρωπίνην ἀθλιότητα δείκνυσιν ὁ λόγος ἱστορικῶς διηγούμενος τὴν ἀποφοίτησιν αὐτοῦ καὶ τὴν ἀσωτίαν· οὐ πρότερον δὲ αὐτὸν ἐπανάγει πρὸς τὴν ἐξ ἀρχῆς εὐκληρίαν πρὶν αἴσθησιν αὐτὸν τῆς παρούσης ἀναλαβεῖν συμφορᾶς καὶ εἰς ἑαυτὸν ἐλθεῖν καὶ μελετῆσαι τὰ τῆς μεταμελείας ῥήματα. ταῦτα δὲ ἦν συμβαίνοντά πως τοῖς τῆς προσευχῆς λόγοις· ἔφησε γὰρ ἐκεῖ, Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, οὐκ ἂν προσθεὶς τῇ ἐξομολογήσει τὴν εἰς τὸν οὐρανὸν ἁμαρτίαν μὴ πεπεισμένος ἑαυτοῦ πατρίδα εἶναι τὸν οὐρανὸν ὃν καταλιπὼν ἐπλημμέλησεν. διὰ τοῦτο καὶ εὐπρόσιτον αὐτῷ τὸν πατέρα ἡ μελέτη τῆς τοιαύτης ἐξομολογήσεως ἀπεργάζεται ὥστε καὶ προσδραμεῖν αὐτῷ καὶ φιλήματι τὸν τράχηλον δεξιώσασθαι — ὅπερ σημαίνει τὸν λογικὸν ζυγὸν τὸν διὰ στόματος ἐπιβληθέντα τῷ ἀνθρώπῳ διὰ τῆς εὐαγγελικῆς παραδόσεως τῷ ἐκδύντι τὴν πρώτην τῆς ἐντολῆς ζεύγλην καὶ ἀποσεισαμένῳ τὸν φυλάσσοντα νόμον — περιθεῖναι δὲ αὐτῷ καὶ τὴν στολήν, οὐκ ἄλλην ἀλλὰ τὴν πρώτην, ἧς ἐγυμνώθη διὰ τῆς παρακοῆς ὁ ὁμοῦ τῇ γεύσει τῶν ἀπειρημένων γυμνὸν ἑαυτὸν θεασάμενος. ὅ τε περὶ τὴν χεῖρα δακτύλιος
1145 M. διὰ τῆς ἐν τῇ σφενδόνῃ γλυφῆς τὴν τῆς εἰκόνος ἐπανάληψιν ὑποσημαίνει. ἀσφαλίζεται δὲ καὶ τοὺς πόδας τοῖς ὑποδήμασιν ὡς ἂν μὴ γυμνῇ τῇ πτέρνῃ τῇ κεφαλῇ τοῦ ὄφεως προσεγγίζων ἐμπίπτοι τῷ δήγματι. ὥσπερ τοίνυν ἐκεῖ τῆς παρὰ τοῦ πατρὸς φιλανθρωπίας αἰτία γέγονε τῷ νέῳ ἡ πρὸς τὴν πατρῴαν ἑστίαν ἐπιστροφή — αὕτη δὲ ἦν ὁ οὐρανὸς εἰς ὃν πεπλημμεληκέναι τῷ πατρὶ λέγει — οὕτω καὶ ἐνταῦθα δοκεῖ μοι διδάσκων ὁ κύριος τὸν ἐν τοῖς οὐρανοῖς ἐπικαλεῖσθαι πατέρα μνήμην σοι ποιεῖν τῆς ἀγαθῆς πατρίδος, ὡς ἂν

18-20 cf Gen 3, 7 sqq

4 δὲ om VMZ ἑαυτὸν Φ 5 ἀναλαβεῖν ante τῆς coll Φ καὶ om v 5-6 καὶ εἰς ἑαυτὸν ἐλθεῖν om ΦZ (cf 66, 6) 7 πως om ΦZ 8 ἔφησε ΨΣ: φησὶ Φ 10 ἑαυτοῦ om v 15 ἀνθρώπῳ ΨZ (ut vid): λόγῳ Φ 19 ὁ om Ψv 21 γλυφῆς: γλυκῆς Φ sscr R^2 γραφῆς K 22 τοῖς om Φ sscr K 24 ἐμπίπτῃ v 26 ἦν: ἐστιν v 29 ποιεῖσθαι Ψv

ἐπιθυμίαν σφοδροτέραν τῶν καλῶν ἐμποιήσας ἐπιστήσειέ σε τῇ ὁδῷ τῇ πρὸς τὴν πατρίδα πάλιν ἐπαναγούσῃ. ὁδὸς δὲ ἡ πρὸς τὸν οὐρανὸν τὴν ἀνθρωπίνην φύσιν ἀνάγουσα οὐδεμία τίς ἐστιν ἄλλη εἰ μὴ φυγὴ καὶ ἀπόστασις τῶν περιγείων κακῶν· τῆς δὲ φυγῆς τῶν κακῶν ἡ ἐπίνοια οὐκ ἄλλη μοί τις εἶναι δοκεῖ πλὴν τῆς πρὸς τὸν θεὸν ὁμοιώσεως. τὸ δὲ ὁμοιωθῆναι θεῷ τὸ δίκαιόν τε καὶ ὅσιον καὶ ἀγαθὸν καὶ τὰ τοιαῦτά ἐστι γενέσθαι. ὧν εἴ τις τοὺς χαρακτῆρας, ὡς ἔστι δυνατόν, ἐναργῶς ἐν ἑαυτῷ τυπώσειεν, ἀμογητὶ κατὰ τὸ αὐτόματον πρὸς τὸν οὐράνιον χῶρον ἀπὸ τοῦ περιγείου μεταναστήσεται βίου. οὐ γὰρ τοπικὴ τοῦ θείου πρὸς τὸ ἀνθρώπινόν ἐστιν ἡ διάστασις ὥστε τινὸς μηχανῆς ἡμῖν καὶ ἐπινοίας γενέσθαι χρείαν τὸ βαρύ τε καὶ ἐμβριθὲς καὶ γεῶδες τοῦτο σαρκίον πρὸς τὴν ἀσώματόν τε καὶ νοερὰν διαγωγὴν μετοικίζειν· ἀλλὰ νοητῶς τῆς ἀρετῆς τοῦ κακοῦ κεχωρισμένης ἐν μόνῃ τῇ προαιρέσει τοῦ ἀνθρώπου κεῖται πρὸς ὅπερ ἂν ἐπικλιθείη τῇ ἐπιθυμίᾳ ἐν ἐκείνῳ εἶναι. ἐπεὶ οὖν οὐδεὶς ἔπεστι πόνος ἑλέσθαι τὸ ἀγαθόν, τῷ δὲ ἑλέσθαι καὶ τὸ τυχεῖν ἕπεται ὧν τις προείλετο, ἔξεστί σοι εὐθὺς ἐν τῷ οὐρανῷ εἶναι τὸν θεὸν ἐν τῇ διανοίᾳ λαβόντι. εἰ γάρ, καθώς φησιν ὁ Ἐκκλησιαστής, Ὁ θεὸς ἐν τῷ οὐρανῷ, σὺ δὲ τῷ θεῷ, κατὰ τὸν προφήτην, προσεκολλήθης, ἀνάγκη πᾶσα τὸν τῷ θεῷ συνημμένον ἐκεῖ εἶναι ὅπου ἐστὶν ὁ θεός. προστάξας τοίνυν ἐν τῇ προσευχῇ λέγειν πατέρα ἑαυτοῦ τὸν θεόν, οὐδὲν ἕτερον ἢ ὁμοιοῦσθαί σε τῇ θεοπρεπεῖ πολιτείᾳ τῷ οὐρανίῳ

2 sqq cf Plat Theaet 176A-B; Resp 613A-B; Plotin I, ii, 1; iv, 16; vi, 8; viii, 6-7   11-20 cf De prof chr VIII i 140, 4-14   21 Ecclesiastes 5, 1   22 Ps 72, 28

5 ἡ om Ψv   6 τὸν om Φ   7 τὸ pr: τῷ WΨ   8-9 τοὺς χαρακτῆρας ΦZ: post δυνατόν coll Ψv   9 ἐν om Φ   11 μεταστήσεται v   13 τε ante ἡμῖν add v   χρεία WΨ (-αν O²R² ut vid) καὶ ἐμβριθὲς om OZ   14 τε om Φ   17 ἐπικλιθῇ VM ἐπικληθείη W   ἐν ἐκείνῳ ΨZ: ἐκεῖνο Φ   18 ἔπεστι ΨZ (ut vid): ἔτι ἐστὶ Φ ἕπεται v   τῷ: τὸ WMO(τῷ e corr O² ut vid)R   21 οὐρανῷ ΨZ: οὐρανῷ ἄνω Φ (cf var lect in test)   22 κατὰ—προσεκολλήθης: διὰ τῆς ἐπιθυμίας σαυτὸν ἐξῆψας ΦZ   24 πατέρα: πρὸς v   ἑαυτοῦ ΨZ: ἑαυτοῦ εἶναι Φ (cf 24, 14)

κελεύει πατρί, καθάπερ καὶ φανερώτερον ἑτέρωθι τὸ τοιοῦτον παρεγγυᾷ λέγων, Γίνεσθε τέλειοι καθὼς καὶ ὁ πατὴρ ὑμῶν τέλειός ἐστιν.

Εἰ οὖν νενοήκαμεν τῆς τοιαύτης προσευχῆς τὴν διάνοιαν, καιρὸς ἂν εἴη παρασκευάζειν ἑαυτῶν τὰς ψυχὰς ὥστε ποτὲ θαρσῆσαι τὰς φωνὰς ταύτας ἀναλαβεῖν διὰ στόματος καὶ εἰπεῖν ἐν παρρησίᾳ, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ὥσπερ γὰρ φανερὰ τῆς πρὸς τὸν θεὸν ὁμοιότητός ἐστι τὰ γνωρίσματα δι' ὧν ἔστι τέκνον γενέσθαι θεοῦ — Ὅσοι γὰρ ἔλαβον αὐτόν, φησίν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· λαμβάνει δέ τις ἐν ἑαυτῷ τὸν θεὸν ὁ τὴν κατὰ τὸ ἀγαθὸν ἀναλαβὼν τελειότητα — οὕτως ἔστι τινὰ καὶ τοῦ πονηροῦ χαρακτῆρος ἴδια σημεῖα, ἐν οἷς ὁ γενόμενος υἱὸς θεοῦ εἶναι οὐ δύναται, τῆς ἐναντίας φύσεως τὴν εἰκόνα φέρων. βούλει γνῶναι τοῦ πονηροῦ χαρακτῆρος τὰ ἰδιώματα; ὁ φθόνος, τὸ μῖσος, ἡ
1148 M. διαβολή, ὁ τῦφος, ἡ πλεονεξία, ἡ ἐμπαθὴς ἐπιθυμία, τὸ κατὰ τὴν δοξομανίαν ἀρρώστημα, ταῦτά ἐστι καὶ τὰ τοιαῦτα οἷς ἡ μορφὴ τοῦ ἐναντίου χαρακτηρίζεται. ὁ τοίνυν ταῖς τοιαύταις κηλῖσι τὴν ψυχὴν ἐγκεκαυμένος ἐὰν πατέρα καλέσῃ ποῖος αὐτοῦ πατὴρ ἐπακούσεται; δηλαδὴ ὁ συγγενῶς πρὸς τὸν κεκληκότα ἔχων· οὗτος δέ ἐστιν οὐχ ὁ οὐράνιος ἀλλ' ὁ καταχθόνιος. οὗ γὰρ τὰ σημεῖα φέρει τῆς ἀγχιστείας, ἐκεῖνος πάντως τῆς ἰδίας συγγενείας ἀντιποιήσεται. οὐκοῦν ἡ τοῦ πονηροῦ ἀνδρὸς προσευχή, ἕως ἂν ἐν τῇ πονηρίᾳ ᾖ, τοῦ διαβόλου ἐπίκλησις γίνεται· τοῦ δὲ ἀφεστῶτος τῆς πονηρίας καὶ ἐν ἀγαθότητι ζῶντος τὸν ἀγαθὸν πατέρα ἡ φωνὴ προσκαλέσεται. ὅταν τοίνυν προσίωμεν τῷ θεῷ, πρότερον τὸν βίον ἐπισκοπήσωμεν, εἴ τι τῆς θείας συγγενείας

2 Matth 5, 48 10 Ioh 1, 12

2 καθὼς: ὡς Ψv 3 ὁ οὐράνιος post ὑμῶν add ΨZv 5-6 ποτὲ θαρσῆσαι: θαρρῆσαί ποτ' ἂν Φ ποτὲ om Z 6-7 καὶ εἰπεῖν— οὐρανοῖς om ΦZ (cf 23, 23) 9 γενέσθαι θεοῦ ΦZ (ut vid): θεοῦ γενέσθαι τινὰ Ψv 11 ὁ om Φ 12 καὶ om VM 19 ἐκκεκαυμένος WK ἐκκεκαλυμμένος VM (cf 24, 8) 20 αὐτῷ Ψ αὐτὸν v πατὴρ αὐτοῦ VM ὑπακούσεται VW ἐπακούσηται OR 23 τὴν ἰδίαν συγγένειαν ἐπιγνώσεται Ψv

ἄξιον ἐν ἑαυτοῖς φέρομεν· εἶθ' οὕτω τὸν τοιοῦτον λόγον θαρσήσωμεν. ὁ γὰρ λέγειν πατέρα προστάξας τὸ ψεῦδος λέγειν οὐ συνεχώρησεν. οὐκοῦν ὁ τῆς θεϊκῆς συγγενείας ἀξίως πολιτευσάμενος, οὗτος καλῶς πρὸς τὴν οὐράνιον πόλιν ὁρᾷ, πατέρα τε τὸν τῶν οὐρανῶν βασιλέα καὶ πατρίδα ἑαυτοῦ τὴν οὐράνιον ὀνομάζων μακαριότητα. εἰς τί φέρει τῆς συμβουλῆς ὁ σκοπός; τὰ ἄνω φρονεῖν, οὗ ὁ θεός· ἐκεῖ θεμελίους τῆς οἰκήσεως ἑαυτοῦ καταβάλλεσθαι· ἐκεῖ τοὺς θησαυροὺς ἀποτίθεσθαι· ἐκεῖ μετοικίζειν ἑαυτοῦ τὴν καρδίαν· ὅπου γάρ ἐστιν ὁ θησαυρός, ἐκεῖ ἐστι καὶ ἡ καρδία· πρὸς τὸ πατρικὸν κάλλος διαπαντὸς βλέπειν καὶ κατ' ἐκεῖνο τὴν ἰδίαν καλλωπίζειν ψυχήν. Οὐκ ἔστι προσωποληψία παρὰ θεῷ, φησὶν ἡ γραφή. ἀπέστω καὶ τῆς σῆς μορφῆς ὁ τοιοῦτος ῥύπος. φθόνου καθαρὸν τὸ θεῖον καὶ πάσης ἐμπαθοῦς κηλῖδος. μηδὲ σὲ καταστιζέτω τὰ τοιαῦτα παθήματα, μὴ φθόνος, μὴ τῦφος, μὴ ἄλλο τι τῶν μολυνόντων τὸ θεοειδὲς κάλλος. ἐὰν τοιοῦτος ᾖς θάρσησον τῇ οἰκείᾳ φωνῇ τὸν θεὸν προσκαλέσασθαι καὶ πατέρα ἑαυτοῦ τὸν τῶν ἁπάντων δεσπότην κατονομάσαι. ὄψεταί σε πατρικοῖς ὀφθαλμοῖς, περιστελεῖ σε τῇ θείᾳ στολῇ, κατακοσμήσει σε τῷ δακτυλίῳ, καταρτίσει τοὺς πόδας πρὸς τὴν ἄνω πορείαν τοῖς εὐαγγελικοῖς ὑποδήμασιν, ἀποκαταστήσει σε τῇ οὐρανίῳ πατρίδι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

7 cf Col 3, 2 10 Matth 6, 21 13 Rom 2, 11 14 cf Plat Phaedr 247A; Tim 29E

1 ἐν om Φ εἰπεῖν post λόγον add ΦZ 2 ψευδῶς VM 3 εὐγενείας ΨZv (cf 26, 27) 5 τε om Φ 8 αὐτοῦ ΦZ 8-9 ἐκεῖ—ἀποτίθεσθαι om ΦZ 10 ἐστι: ἔσται Φ 11 βλέπειν διαπαντὸς Φ ἰδίαν: οἰκείαν Φ 12 τῷ ante θεῷ add Φ 15 πάθη Ψ(om sed in marg add K)v 18 σεαυτοῦ VM τοῦ παντὸς Ψv 19 ὀνομάσαι v 20 κατακοσμήσει σε ΦZ: καὶ κατακοσμήσει Ψv καταρτήσει OR 22 οὐρανία Φ 23 ᾧ ΦOZ: ᾧ πρέπει RKv 24 ἐτελεώθη post ἀμήν add Z ἐτελεώθη λόγος β' add Σ

ΛΟΓΟΣ Γ'

Ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου.

Ὁ τὴν σκιὰν τῶν μελλόντων ἀγαθῶν περιέχων νόμος καί τισιν αἰνίγμασι τυπικῶς προαναφωνῶν τὴν ἀλήθειαν, ἐπειδὰν εἰς τὸ ἄδυτον εἰσάγῃ προσευξόμενον τῷ θεῷ τὸν ἱερέα, πρῶτον μὲν καθαρσίοις τισὶ καὶ περιρραντισμοῖς ἀφαγνίζει τὸν εἰσιόντα. εἶτα τῇ ἱερατικῇ στολῇ χρυσῷ καὶ πορφύρᾳ καὶ τοῖς λοιποῖς ἄνθεσι τῆς βαφῆς ἐκπρεπῶς ἐξησκημένῃ κατακοσμήσας, τήν τε περιστήθιον ἐπιβαλὼν αὐτῷ μίτραν, καὶ τοὺς κώδωνας τῶν κρασπέδων μετὰ τῶν ῥοΐσκων καὶ τῶν ἀνθίνων ἐξάψας, ἄνωθεν δὲ ταῖς ἐπωμίσι διασφίγξας
1149 M. τὸν ἐπενδύτην, καὶ τὴν κεφαλὴν καλλωπίσας τῷ διαδήματι, δαψιλῶς τε τῆς κόμης καταχέας τοῦ μύρου, οὕτως αὐτὸν παράγει ἐπὶ τὸ ἄδυτον, τὰς ἀπορρήτους ἱερουργίας ἐπιτελέσοντα. ὁ δὲ πνευματικὸς νομοθέτης ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀπογυμνῶν τῶν σωματικῶν προκαλυμμάτων τὸν νόμον καὶ εἰς τὸ ἐμφανὲς ἄγων τὰ τῶν τύπων αἰνίγματα, πρῶτον μὲν οὐχ ἕνα τοῦ παντὸς ἀποκρίνας μόνον εἰς ὁμιλίαν ἄγει θεῷ ἀλλὰ παντὶ κατὰ τὸ ἴσον τὴν ἀξίαν ταύτην χαρίζεται, κοινὴν προθεὶς τοῖς βουλομένοις τῆς ἱερωσύνης τὴν χάριν. ἔπειτα δὲ οὐκ ἀλλοτρίῳ κόσμῳ τῷ ἐκ βαφῆς τινος καὶ ὑφαντικῆς περιεργίας ἐξευρημένῳ τὸ κάλλος τοῦ ἱερέως σοφίζεται, ἀλλ' οἰκεῖον αὐτῷ καὶ συμφυῆ περιβάλλει τὸν κόσμον, ἀντὶ τῆς ποικίλης ἁλουργίδος ταῖς τῶν ἀρετῶν χάρισι περιανθίζων. κοσμεῖ δὲ καὶ τὸ στῆθος οὐ γηΐνῳ χρυσῷ ἀλλ' ἐν ἀκηράτῳ καὶ καθαρᾷ συνειδήσει τὸ τῆς καρδίας ὡραΐζων κάλλος.

3 cf Hebr 10, 1   5 sqq cf Ex 28, 4 sqq; 36, 9 sqq; Lev 8, 6 sqq; De vita Moys VII i 97, 22 sqq; Phil Iud De vita Mos II, 119-121 et 133; De spec leg I, 93-94; De migr Abr 103; Quaest et sol in Ex II, 120   21 cf Plat Phaedr 239D

1 λόγος γ': τοῦ αὐτοῦ εἰς τὴν προσευχὴν (εἰς τὴν προσευχὴν om W) ὁμιλία γ' ΦΑ   om Ψ (sed λόγος λς' in marg scr K)E   ὁμιλία γ'C   λόγος γ' περὶ τοῦ ΖΣ   2 ἁγιασθήτω—βασιλεία σου om ΦΑ καὶ ante ἐλθέτω add ΖΣ   4 τυπικοῖς ΨΖ   5 εἰσάγει WR (in -η corr R)Kv   11 καὶ τῶν ἀνθίνων Φ(-νῶν Φ correxi)Ζ: om Ψv (cf testimonia 5)   13 τῷ μύρῳ Φ   22 περιεργασίας v

ἐναρμόζει δὲ τῇ μίτρᾳ ταύτῃ καὶ πολυτελῶν λίθων αὐγάς· αὗται δέ εἰσιν αἱ τῶν ἁγίων ἐντολῶν λαμπηδόνες, ὡς τῷ ἀποστόλῳ δοκεῖ. ἀλλὰ καὶ τῇ περισκελίδι τὸ μέρος ἐκεῖνο ᾧ κόσμος ἐστὶ τὸ τοιοῦτον τοῦ ἐνδύματος εἶδος κατασφαλίζεται· πάντως δὲ οὐκ ἀγνοεῖς ὅτι τὸ τῆς σωφροσύνης περιβόλαιον κόσμος τοῦ τοιούτου μέρους ἐστίν. ἀπαρτήσας δὲ τῶν κρασπέδων τοῦ βίου τοὺς νοητοὺς ῥοΐσκους καὶ τά ἄνθινα καὶ τοὺς κώδωνας—ταῦτα δὲ εἰκότως ἄν τις τὰ προφανῆ τῆς κατ' ἀρετὴν πολιτείας νοήσειεν ὡς ἂν ἐπίσημος ἡ κατὰ τὴν ζωὴν ταύτην πορεία γένοιτο—τούτων οὖν τῶν κρασπέδων ἐξάψας ἀντὶ μὲν τοῦ κώδωνος τὸν εὔηχον τῆς πίστεως λόγον, ἀντὶ δὲ τοῦ ῥοΐσκου τὴν κεκρυμμένην τῆς μελλούσης ἐλπίδος ἑτοιμασίαν τὴν τῷ στυφοτέρῳ βίῳ κεκαλυμμένην, ἀντὶ δὲ τῶν ἀνθίνων τὴν εὐανθῆ τοῦ παραδείσου χάριν, οὕτω παράγει ἐπὶ τὸ ἄδυτον τοῦ ἱεροῦ καὶ ἐνδότατον. τὸ δὲ ἄδυτον τοῦτο οὐκ ἄψυχόν ἐστιν οὐδὲ χειρόκμητον ἀλλὰ τὸ κρυπτὸν τῆς διανοίας αὐτοῦ ταμεῖον ἐὰν ἀληθῶς ἄδυτον ᾖ τῇ κακίᾳ καὶ τοῖς πονηροῖς λογισμοῖς ἀνεπίβατον. κοσμεῖ δὲ τὴν κεφαλὴν τῷ οὐρανίῳ φρονήματι, οὐ γραμμάτων τύπον ἐνσημηνάμενος πετάλῳ χρυσῷ ἀλλ' αὐτὸν τὸν θεὸν ἐντυπώσας τῷ ἡγεμονικῷ λογισμῷ. μύρον δὲ κατασκεδάζει τῆς κόμης τὸ παρ' αὐτῆς ἔνδοθεν τῆς ψυχῆς μυρεψούμενον. θῦμα δὲ καὶ ἱερεῖον προσάγειν αὐτὸν τῷ θεῷ παρασκευάζει διὰ τῆς μυστικῆς ἱερουργίας οὐκ ἄλλο τι ἢ ἑαυτόν. ὁ γὰρ οὕτως παρὰ τοῦ κυρίου πρὸς τὴν ἱερωσύνην ταύτην ἀγόμενος, τὸ φρόνημα τῆς σαρκὸς νεκρώσας ἐν τῇ μαχαίρᾳ τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, οὗτος ἱλεοῦται τὸν θεὸν ἐν τοῖς ἀδύτοις γενόμενος,

2-3 cf Rom 7, 12; II Petr 2, 21 15-16 cf Hebr 9, 11 26 cf Eph 6, 17

1 ταύτῃ om v 3 ἀποστόλῳ: ἁγίῳ παύλῳ Φ ἁγίῳ ἀποστόλῳ Z 4 ᾧ ΨZ: ὃ VM οὗ W εἶδος om Ψv 6 ἀπήρτησε Φ ἀπαρτίσας K 7-8 καὶ τὰ ἄνθινα Φ(-νὰ VW correxi ἄνθη M)Z: τε Ψv 11 λόγον τῆς πίστεως Ψv 13 στιφροτέρῳ v 13-14 ἀντὶ δὲ τῶν ἀνθίνων—χάριν Φ(-νῶν Φ correxi)Z: om Ψv 16 οὔτε Ψv χειρόκμητον ΨZ: χειρότμητον Φ χειρόδμητον v 17 διανοίας αὐτοῦ ΦZ: καρδίας ἡμῶν Ψv 21 ἐν ante τῷ add Ψv 22 ψυχῆς ΦZ: ψυχῆς διὰ τῶν ἀρετῶν Ψv μυρεψόμενον v 27 οὕτως VΨ(οὗτος O²)Σv (cf 33, 7-9)

ἑαυτὸν διὰ τῆς τοιαύτης θυσίας ἱερουργήσας καὶ παραστήσας τὸ ἑαυτοῦ σῶμα θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ. ἀλλ' ἐρεῖ τις ἴσως μὴ ταῦτα κατὰ τὸ πρόχειρον ἔχειν τὴν τῆς προσευχῆς διάνοιαν τῆς προκειμένης ἡμῖν εἰς ἐξήγησιν, περινοεῖν δὲ ἡμᾶς τοὺς τοιούτους λόγους οὐκ ἐκ τῶν οἰκείων τοῖς ὑποκειμένοις ἁρμόζοντας. οὐκοῦν πάλιν ὑπομνησθήτω τῶν πρώτων τῆς προσευχῆς διδαγμάτων. ὁ γὰρ οὕτως ἑαυτὸν παρασκευάσας ὥστε ἐν παρρησίᾳ τολμῆσαι πατέρα ἑαυτοῦ
1152 M. τὸν θεὸν ὀνομάσαι, οὗτος ἀκριβῶς περίκειται τὴν στολὴν ἐκείνην ἣν ὁ λόγος ὑπέγραψεν, καὶ ἠχεῖ τοῖς κώδωσιν, καὶ ἐξανθεῖ τοῖς ῥοΐσκοις, καὶ λάμπει περὶ τὸ στῆθος ταῖς τῶν ἐντολῶν αἴγλαις, καὶ φέρει τοῖς ὤμοις τοὺς πατριάρχας, ἀντὶ τῶν ὀνομάτων τὰς ἀρετὰς ἐκείνων εἰς τὸν ἴδιον κόσμον μετακοσμήσας, καὶ τὴν κεφαλὴν κοσμεῖ τῷ τῆς δικαιοσύνης στεφάνῳ, καὶ τὴν κόμην ἔχει τῷ οὐρανίῳ μύρῳ διάβροχον, ἐντός τε γίνεται τῶν ὑπερουρανίων ἀδύτων, ἅπερ παντὶ λογισμῷ βεβήλῳ ἄδυτα ὡς ἀληθῶς ἐστι καὶ ἀνεπίβατα.

Ἀλλ' ὅπως μὲν προσήκει παρεσκευάσθαι τὸν ἱερωμένον μετρίως ἐν τοῖς ἐξητασμένοις ὁ λόγος ὑπέδειξεν· λοιπὸν δ' ἂν εἴη σκοπεῖν αὐτὴν τὴν αἴτησιν ἣν προσάγειν ἐκέλευσε τῷ θεῷ τὸν ἐντὸς τῶν ἀδύτων γενόμενον. οὐ γάρ μοι δοκεῖ κατὰ τὸ πρόχειρον εὔληπτον παρέχειν ἡμῖν τὴν διάνοιαν ψιλῶς τῆς προσευχῆς ἐκτεθέντα τὰ ῥήματα. Ἁγιασθήτω, φησί, τὸ ὄνομά σου, καὶ Ἐλθέτω ἡ βασιλεία σου. Τί ταῦτα πρὸς τὴν ἐμὴν χρείαν; εἴποι τις ἂν ἄνθρωπος, ἢ ἐπὶ ἁμαρτίαις ἑαυτὸν διὰ μετανοίας μαστίζων ἢ ὅπως ἂν φύγοι κατακρατοῦσαν τὴν ἁμαρτίαν τὸν θεὸν εἰς συμμαχίαν καλῶν, ἐν ὀφθαλμοῖς ἔχων ἀεὶ τὸν διὰ τῶν πειρασμῶν προσπαλαίοντα.

2 cf Rom 12, 1   14-15 cf II Tim 4, 8

7 διδαγμάτων: ῥημάτων ΦΖ   12 αἴγλαις: αὐγαῖς Ψv   τε καὶ τοὺς προφήτας post πατριάρχας add Ψ om ΦΖ   καὶ προφήτας add v (cf De vita Moys VII i 98, 8; 101, 2 et 18; 102, 13 et 17)   16 ἐπουρανίων ΦΖ   18 μὲν om v   παρασκευάσασθαι Φ   23 ἐκταθέντα OR   24 καὶ om ΨZv   25 ἂν ἄνθρωπος: ἂν VM(post quod spat trium litt M)Z   ἄνθρωπος Wv   ἢ: εἰ V om MZ   26-27 ἢ ante τὸν coll Φ om Z

ἐντεῦθεν οἱ θυμοὶ τὸν λογισμὸν τοῦ καθεστηκότος παράγουσιν· ἐκεῖθεν αἱ τῶν ἀτόπων ἐπιθυμίαι τὸν τόνον τῆς ψυχῆς ἐκνευρίζουσιν· ἑτέρωθεν ἡ πλεονεξία πήρωσιν ἐπάγει τῷ διορατικῷ τῆς καρδίας· ὁ τῦφος, ἡ ὑπερηφανία, τὸ μῖσος, ὁ λοιπὸς τῶν ἀντιπαλαιόντων ἡμῖν κατάλογος οἷόν τι στῖφος πολεμίων ἐν κύκλῳ περιστοιχισάμενον τὸν περὶ τῶν ἐσχάτων ἐπάγει τῇ ψυχῇ κίνδυνον. εἶτα ὁ ἐκδῦναι τὰ κακὰ ταῦτα διὰ τῆς κρείττονος συμμαχίας σπουδάζων ποίοις ἂν κυριώτερον χρήσαιτο λόγοις; οὐχ οἷς ὁ μέγας Δαβίδ, Ῥυσθείην ἐκ τῶν μισούντων με, λέγων, καὶ Ἀποστραφείησαν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, καὶ Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ὅσα τοιαῦτα δι' ὧν ἔστι τοῦ θεοῦ τὴν συμμαχίαν κατὰ τῶν ἐναντίων διαναστῆσαι; νυνὶ δὲ τί φησιν ὁ τῆς προσευχῆς νόμος; Ἁγιασθήτω τὸ ὄνομά σου. εἰ γὰρ μὴ λέγοιτο παρ' ἐμοῦ τοῦτο, ἆρα δυνατόν ἐστι μὴ ἅγιον εἶναι τοῦ θεοῦ τὸ ὄνομα; καὶ Ἐλθέτω ἡ βασιλεία σου. τί γὰρ τῆς ἐξουσίας τοῦ θεοῦ ἠλλοτρίωται, τοῦ διειληφότος τῇ σπιθαμῇ τὸν οὐρανὸν ὅλον, καθώς φησιν Ἡσαΐας, τοῦ περιδεδραγμένου τὴν γῆν, τοῦ περικρατοῦντος ἐν τῇ χειρὶ τὴν ὑγρὰν φύσιν, ὃς πᾶσαν ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον ἐνηγκάλισται κτίσιν; εἰ οὖν ἅγιον ἀεὶ τοῦ θεοῦ τὸ ὄνομα καὶ οὐδὲν ἐκπέφευγε τὸ κράτος τῆς τοῦ θεοῦ δεσποτείας ἀλλὰ καὶ κρατεῖ πάντων καὶ κατὰ τὸν ἁγιασμὸν προσθήκης οὐκ ἐπιδέεται ὁ διὰ πάντων ἀνελλιπής τε καὶ τέλειος, τί βούλεται ἡ εὐχή, Ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου; ἢ τάχα τι τοιοῦτον ὁ λόγος ἐν τῷ εἴδει τῆς προσευχῆς δογματίζει, ὅτι ἀσθενής ἐστι πρὸς ἀγαθοῦ τινος κτῆσιν ἡ ἀνθρωπίνη φύσις καὶ διὰ

9-10 Ps 68, 15   10-11 Ps 6, 11; 34, 4; 39, 15; 55, 10   11 Ps 59, 13; 107, 13   18 Is 40, 12

1 ἐντεῦθεν: ἔνθεν Ψv   3 ἐκνευρίζουσιν: νεκροῦσιν ΦΖ   6 πολέμιον v   περιστοιχισαμένων Z   7 τὰ κακὰ ΦΖ: om Ψv   9 χρήσοιτο Φ   12 τὴν τοῦ θεοῦ Φ   13 δυνασθῆναι V   διαναστῆναι M   16 καὶ ΦΖ: om Ψv   18 τὴν γῆν: πάσης τῆς γῆς Φ   19 ὃς: τοῦ Φ   20 ἐνηγκαλισμένου Φ   21 ὄνομα: κράτος v   23 ἐπιδέχεται v   24 ἀνελλειπής Φ   τε om Ψv   25 ἢ: εἰ v   27 κτῆσις OR (ν sscr O^2 in -ν corr R^2)

1153 M. τοῦτο οὐκ ἄν τι γένοιτο τῶν σπουδαζομένων ἡμῖν μὴ τῆς θείας συμμαχίας τὸ ἀγαθὸν ἐν ἡμῖν κατορθούσης; ἀγαθῶν δὲ πάντων ἐστὶ τὸ κεφάλαιον τὸ τῷ ἐμῷ βίῳ τὸ ὄνομα τοῦ θεοῦ ἐνδοξάζεσθαι. γένοιτο δ' ἂν ἡμῖν ἐκ τοῦ ἐναντίου γνωριμωτέρα ἡ ἔννοια.

Ἤκουσά που τῆς ἁγίας γραφῆς κατακρινούσης ἐκείνους οἳ τῆς κατὰ τοῦ θεοῦ βλασφημίας αἴτιοι γίνονται. Οὐαὶ γάρ, φησί, δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. τοῦτο δὲ τοιοῦτόν ἐστιν· οἱ μήπω πεπιστευκότες τῷ λόγῳ τῆς ἀληθείας πρὸς τὸν βίον τῶν παραδεδεγμένων τὴν τοῦ μυστηρίου πίστιν ἀποσκοποῦσιν. ὅταν τοίνυν τὸ μὲν ὄνομα τῆς πίστεως ᾖ, ὁ δὲ βίος ἀντιφθέγγηται τῷ ὀνόματι, ἢ διὰ πλεονεξίας εἰδωλολατρῶν ἢ ἐν μέθαις καὶ κώμοις ἀσχημονῶν ἢ τῷ βορβόρῳ τῆς ἀσωτίας χοίρου δίκην ἐγκαλινδούμενος, πρόχειρος εὐθὺς παρὰ τῶν ἀπίστων ὁ λόγος, οὐκ εἰς τὴν προαίρεσιν τῶν κακῶς τῷ βίῳ κεχρημένων τὴν κατηγορίαν τρέπων, ἀλλ' ὡς τοιαῦτα πράττειν τοῦ μυστηρίου διδάσκοντος. μὴ γὰρ ἂν γενέσθαι τὸν δεῖνα τὸν τὰ θεῖα μεμυημένον μυστήρια ἢ λοίδορον ἢ πλεονέκτην ἢ ἅρπαγα ἢ ἄλλο τι τοιοῦτον κακὸν εἰ μὴ ἔννομον αὐτοῖς τὸ ἁμαρτάνειν ἦν. διὰ τοῦτο χαλεπὴν τοῖς τοιούτοις ἀπειλὴν ὁ λόγος ἐπανατείνεται, λέγων ἐκείνοις εἶναι τὸ Οὐαὶ δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. εἰ δὴ τοῦτο νενόηται καιρὸς ἂν εἴη τὸ ἐκ τοῦ ἐναντίου λεγόμενον κατανοῆσαι. εὔχεσθαι γὰρ πρό γε πάντων οἶμαι χρῆναι καὶ τοῦτο ποιεῖσθαι τῆς προσευχῆς τὸ κεφάλαιον, τὸ μὴ βλασφημεῖσθαι ἐν τῷ ἐμῷ βίῳ τὸ ὄνομα τοῦ θεοῦ ἀλλὰ δοξάζεσθαι καὶ ἁγιάζεσθαι.

3-4 cf II Thess 1, 12 8 Is 52, 5; cf Rom 2, 24; Ez 36, 20 13 cf Rom 13, 13; Gal 5, 21 14-15 cf II Petr 2, 22

4 γνωριμωτέρα: προτιμοτέρα v 7 τῆς κατὰ KZ: κατὰ τῆς ΦOR 12 ἔν τισιν ante ᾖ add Ψv om ΦZ ἀντιφθέγγεται Φ 14 ἢ ΦZ: καὶ Ψv χοίρου: ὑὸς Ψv 23 δή: δὲ KZ 24 προσεύχεσθαι Φ (-σθε M) 25 γὰρ ΨZ: φησι Φ χρῆναι Ψ(e χρῆμα corr R)Z: χρὴ δὲ Φ 27 τῷ ὀνόματι v τὴν τοῦ μυστηρίου πίστιν post ἁγιάζεσθαι add Φ om Z (cf 11)

Ἐν ἐμοὶ οὖν, φησίν, ἁγιασθήτω τὸ ἐπικληθέν μοι ὄνομα τῆς σῆς δεσποτείας, ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς. τίς δὲ οὕτω θηριώδης καὶ ἄλογος ὥστε ὁρῶν ἐν τοῖς πεπιστευκόσι θεῷ βίον καθαρὸν δι᾽ ἀρετῆς κατορθούμενον, πάντων τῶν ἐξ ἁμαρτίας μολυσμῶν καθαρεύοντα, πάσης τῆς πρὸς τὸ χεῖρον ὑπονοίας ἀλλοτριούμενον, λαμπρὸν τῇ σωφροσύνῃ, σεμνὸν τῇ φρονήσει, ἀνδρείως ἔχοντα πρὸς τὰς τῶν παθῶν προσβολάς, μηδαμοῦ ταῖς σωματικαῖς ἡδυπαθείαις μαλακιζόμενον, τρυφῆς καὶ βλακείας καὶ τῆς κατὰ τὸν τῦφον χαυνότητος ὡς ὅτι μάλιστα κεχωρισμένον, τοσοῦτον μετέχοντα τοῦ βίου ὅσον ἐπάναγκες, ἄκρῳ τῷ ποδὶ τῆς γῆς ἐπιψαύοντα, οὐ ταῖς καθ᾽ ἡδονὴν ἀπολαύσεσι τῷ γηΐνῳ τούτῳ βίῳ καταχωννύμενον, ἀλλ᾽ ὑπερανεστῶτα πάσης τῆς κατ᾽ αἴσθησιν γινομένης ἀπάτης καὶ πρὸς τὴν ἀσώματον ζωὴν διὰ σαρκὸς ἁμιλλώμενον, ἕνα πλοῦτον νομίζοντα τὴν τῆς ἀρετῆς κτῆσιν, μίαν εὐγένειαν τὴν πρὸς τὸν θεὸν οἰκειότητα, μίαν ἀξίαν καὶ δυναστείαν μίαν τὸ κρατεῖν ἑαυτοῦ καὶ ἀδούλωτον εἶναι τοῖς ἀνθρωπίνοις παθήμασιν, ἀχθόμενον τῇ παρατάσει τῆς τοῦ ὑλικοῦ βίου ζωῆς, σπεύδοντα δὲ καθάπερ οἱ διὰ πελάγους κακοπαθοῦντες 1156 M. πρὸς τὸν λιμένα καταντῆσαι τῆς ἀναπαύσεως—τίς τοίνυν τὸν τοιοῦτον ὁρῶν οὐ δοξάζει τὸ ὄνομα τὸ ἐπικεκλημένον τῷ τοιούτῳ βίῳ; οὐκοῦν ὁ ἐν τῇ προσευχῇ λέγων, Ἁγιασθήτω ἐν ἐμοὶ τὸ ὄνομά σου, ταῦτα τῇ δυνάμει τῶν λεγομένων προσεύχεται· Γενοίμην τῇ συνεργίᾳ τῆς σῆς βοηθείας ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, λαλῶν ἀλήθειαν, ἐργαζόμενος δικαιοσύνην, ἐν εὐθύτητι πορευόμενος, τῇ σωφροσύνῃ λάμπων, τῇ ἀφθαρσίᾳ κοσμούμενος, τῇ σοφίᾳ καὶ τῇ φρονήσει καλλωπι-

2-3 Matth 5, 16

1 τὸ ἐπικληθέν μοι ὄνομα ΨZ: τὸ ὄνομά σου τὸ ἐπικληθὲν Φ 5 κατωρθωμένον Ψv 6 μολυσμάτων v 8 ἀνδρείας v 14 γενομένης Ψv 18 μίαν om ΦZ 21-22 τίς—ὁρῶν ΨZ: om Φ 22 δοξάζῃ v 23 ὁ om v 24 ἐν ἐμοὶ ΦZ: post σου coll Ψv 26 ἄμεμπτος δίκαιος θεοσεβής om Z 28-29 τῇ σωφροσύνῃ—κοσμούμενος ΨZ: om Φ

ζόμενος, τὰ ἄνω φρονῶν, τῶν γηΐνων ὑπερορῶν, ταῖς ἀγγελικαῖς πολιτείαις ἐλλαμπρυνόμενος. ταῦτα καὶ τὰ τοιαῦτα περιέχει ἡ βραχεῖα αἴτησις αὕτη ἡ λέγουσα διὰ προσευχῆς τῷ θεῷ ὅτι Ἁγιασθήτω τὸ ὄνομά σου. οὐ γὰρ ἔστιν ἄλλως ἐν ἀνθρώπῳ δοξασθῆναι θεὸν μὴ τῆς κατ᾽ αὐτὸν ἀρετῆς τῇ θείᾳ δυνάμει τὴν αἰτίαν τῶν ἀγαθῶν μαρτυρούσης.

Ὁ δὲ ἐφεξῆς λόγος τὴν βασιλείαν τοῦ θεοῦ ἐλθεῖν εὔχεται. ἆρα νῦν ἀξιοῖ γενέσθαι βασιλέα τὸν τοῦ παντὸς βασιλέα, τὸν ἀεὶ ὄντα ὅπερ ἐστίν, τὸν πρὸς πᾶσαν μεταβολὴν ἀμετάθετον, τὸν οὐκ ἔχοντα εὑρεῖν κρεῖττον εἰς ὃ μεταβήσεται; τί οὖν βούλεται ἡ εὐχὴ τὴν τοῦ θεοῦ βασιλείαν ἐκκαλουμένη; ἀλλὰ τὸν μὲν ἀληθῆ περὶ τούτου λόγον εἰδεῖεν ἂν οἷς τὸ πνεῦμα τῆς ἀληθείας ἀνακαλύπτει τὰ κεκρυμμένα μυστήρια. ἡμεῖς δὲ τοιαύτην ἔχομεν περὶ τοῦ ῥητοῦ τὴν διάνοιαν· μία τῶν πάντων ὑπέρκειται ἡ ἀληθὴς ἐξουσία καὶ δύναμις, ἡ τοῦ παντὸς ἀναδεδεγμένη τὸ κράτος καὶ βασιλεύουσα οὐ βιαίᾳ τινὶ καὶ τυραννικῇ δυναστείᾳ, φόβοις καὶ ἀνάγκαις ὑποζεύξασα τῇ ὑποταγῇ τὸ ὑπήκοον. ἐλευθέραν γὰρ εἶναι προσήκει παντὸς φόβου τὴν ἀρετὴν καὶ ἀδέσποτον, ἑκουσίᾳ γνώμῃ τὸ ἀγαθὸν αἱρουμένην· ἀγαθοῦ δὲ παντὸς τὸ κεφάλαιον τὸ ὑπὸ τὴν ζωοποιὸν ἐξουσίαν τετάχθαι. ἐπειδὴ τοίνυν τῆς τοῦ καλοῦ κρίσεως ἀπεπλανήθη δι᾽ ἀπάτης ἡ ἀνθρωπίνη φύσις καὶ πρὸς τὸ ἐναντίον γέγονε τῆς προαιρέσεως ἡμῶν ἡ ῥοπὴ καὶ παντὶ τῷ χείρονι ἡ ζωὴ τῶν ἀνθρώπων κατεκρατήθη, μυρίαις ὁδοῖς τοῦ θανάτου καταμιχθέντος τῇ φύσει—πᾶσα γὰρ κακίας

20 cf Plat Resp 617E 25 sqq cf Eurip Medea 376

1-2 τὰ ἄνω—ἐλλαμπρυνόμενος ΨZ: om Φ 2 εὐαγγελικαῖς Z 3 ἡ post αὕτη om Φ 4 ὅτι om WM 5 δυνατὸν post ἄλλως add Ψv ἀνθρώπῳ ΨZ: ἀνθρώποις Φ 8 ἐλθεῖν ΦZ: post εὔχεται coll Ψv 11 τὸν οὐκ—μεταβήσεται om ΦZ (cf In psal V 79, 11-12) 12 τὴν om v 13 εἴδοιεν Φ εἴσειεν R (εἰδεῖεν in marg scr R²) γνοῖεν v 15 τὴν om Φ 17 ἀναδεδεγμένη τὸ κράτος καὶ ΨZ (ut vid): om Φ (cf ad 40, 12-13) βίᾳ v 20 ἑκουσίᾳ γνώμῃ W(γν in ras W)ΨZΣ: ἑκουσία V ἑκουσίως M 22 καλοῦ: ἀγαθοῦ ΦZ 26 κατακριθέντος v

ἰδέα οἷόν τις ὁδὸς τῷ θανάτῳ καθ' ἡμῶν γίνεται—ἐπειδὴ τοίνυν τῇ τοιαύτῃ τυραννίδι περιεσχέθημεν καθάπερ δημίοις τισὶν ἢ πολεμίοις, ταῖς προσβολαῖς τῶν παθημάτων τῷ θανάτῳ δεδουλωμένοι, καλῶς εὐχόμεθα τοῦ θεοῦ τὴν βασιλείαν ἐφ' ἡμᾶς ἐλθεῖν. οὐ γὰρ ἔστιν ἄλλως ἐκδῦναι τὴν πονηρὰν τῆς φθορᾶς δυναστείαν μὴ τῆς ζωοποιοῦ δυνάμεως ἐφ' ἡμῶν ἀντιμεταλαβούσης τὸ κράτος. ἐὰν οὖν ἐλθεῖν τὴν βασιλείαν ἐφ' ἡμᾶς προσευξώμεθα, ταῦτα τῇ δυνάμει τὸν θεὸν ἱκετεύομεν· ἀπαλλαγείην τῆς φθορᾶς, ἐλευθερωθείην τοῦ θανάτου, ἄνετος γενοίμην τῶν τῆς ἁμαρτίας δεσμῶν, μηκέτι βασιλευέτω κατ' ἐμοῦ ὁ θάνατος, μηκέτι ἐνεργὸς ἔστω καθ' ἡμῶν ἡ τυραννὶς τῆς κακίας, μὴ κατακρατείτω μου ὁ πόλεμος μηδὲ ἀγέτω με δι' ἁμαρτίας αἰχμάλωτον· ἀλλ' ἐλθέτω ἐπ' ἐμὲ ἡ βασιλεία σου ἵνα ὑποχωρήσῃ ἀπ' ἐμοῦ, μᾶλλον δὲ εἰς τὸ μὴ ὂν μεταχωρήσῃ τὰ νῦν ἐπικρατοῦντα καὶ βασιλεύοντα πάθη. ὡς γὰρ ἐκλείπει καπνός, οὕτως ἐκλείψουσιν· καὶ ὡς **1157 M.** τήκεται κηρός, οὕτως ἀπολοῦνται. οὔτε καπνὸς ἀναχυθεὶς εἰς τὸν ἀέρα σημεῖόν τι τῆς ἰδίας ὑπολείπεται φύσεως οὔτε κηρὸς ἐν πυρὶ γενόμενος ἔτι εὑρίσκεται, ἀλλὰ καὶ οὗτος τὴν φλόγα δι' ἑαυτοῦ θρέψας εἰς ἀτμὸν καὶ ἀέρα μετεποιήθη καὶ ὁ καπνὸς εἰς παντελῆ ἀφανισμὸν προεχώρησεν· οὕτως ἐὰν ἡ βασιλεία τοῦ θεοῦ ἐφ' ἡμᾶς ἔλθῃ, πάντα τὰ νῦν ἐπικρατοῦντα εἰς ἀφανισμὸν περιστήσεται. οὐ γὰρ ὑπομένει τὸ σκότος τὴν τοῦ φωτὸς παρουσίαν· οὐ νόσος ὑγιείας ἐπιλαβούσης ἵσταται· οὐκ ἐνεργεῖ τὰ πάθη τῆς ἀπαθείας παρούσης·

16-17 cf Ps 67, 3; Is 64, 1

1 εἰδέα ΦΟ εἰδεᾶ in ἰδέα corr R   καθ' ἡμῶν: καθηγεμὼν ΦΖ   2 τῇ om Φ   5 ἐφ' ἡμᾶς om ΦΖ   7 ἀντιλαβούσης Φ   7-8 ἐφ' ἡμᾶς τὴν βασιλείαν Ψv post quod τοῦ θεοῦ add v   προσευξώμεθα ΦΖ: αἰτήσωμεν Ψv   τοῦ λόγου (ut vid) post δυνάμει add Z (cf 36, 24)   10-11 βασιλεύοι quod ante ὁ θάνατος coll Φ   11 κατ' ἐμοῦ ΨΖ: καθ' ἡμῶν Φ   καθ' ἡμῶν: κατ' ἐμοῦ Z   12 καὶ ante μὴ add v   πολέμιος WZ   14 ἀπ' ἐμοῦ ΨΖ: om Φ   17 ἀπὸ προσώπου πυρὸς post κηρός add v   ἀναχθεὶς ΦΖ ἀναχεθεὶς Ψv correxi   18 εἰς: πρὸς Ψ   21 μετεχώρησεν Ψv   22 ἂν Φ   ἡ τοῦ θεοῦ βασιλεία ἔλθῃ ἐφ' ἡμᾶς Φ   24-25 ἐπιλαβούσης ὑγ(ι)είας Φ

φροῦδος ὁ θάνατος, ἀφανὴς ἡ φθορὰ ὅταν ἐν ἡμῖν ἡ ζωὴ βασιλεύῃ καὶ ἀφθαρσία τὸ κράτος ἔχῃ. Ἐλθέτω ἡ βασιλεία σου, ἡ γλυκεῖα φωνή, δι' ἧς ταύτην προσάγομεν ἄντικρυς τῷ κυρίῳ τὴν δέησιν· Καταλυθήτω ἡ ἀντικειμένη παράταξις· ἀφανισθήτω τῶν ἀλλοφύλων ἡ φάλαγξ· ἀναιρεθήτω τῆς σαρκὸς ὁ κατὰ τοῦ πνεύματος πόλεμος· ἐπιφανήτω μοι ἡ βασιλικὴ δυναστεία, ἡ ἀγγελικὴ χείρ, αἱ χιλιάδες τῶν εὐθηνούντων, ἡ μυριὰς τῶν κατὰ τὸ δεξιόν σου παρισταμένων, ἵνα πέσῃ ἐκ τοῦ ἀντικειμένου κλίτους ἡ χιλιὰς τῶν πολεμούντων· πολὺς ὁ ἀντίπαλος, ἀλλὰ τοῖς ἐρήμοις τῆς σῆς συμμαχίας δεινός τε καὶ ἄμαχος, ἀλλ' ἕως ἂν μόνος ὁ πολεμούμενος ᾖ· ἐπειδὰν δὲ ἡ σὴ βασιλεία φανῇ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ἀντεισέρχεται δὲ ζωὴ καὶ εἰρήνη καὶ ἀγαλλίαμα.

Ἢ τάχα, καθὼς ἡμῖν ὑπὸ τοῦ Λουκᾶ τὸ αὐτὸ νόημα σαφέστερον ἑρμηνεύεται, ὁ τὴν βασιλείαν ἐλθεῖν ἀξιῶν τὴν τοῦ ἁγίου πνεύματος συμμαχίαν ἐπιβοᾶται; οὕτω γὰρ ἐν ἐκείνῳ τῷ εὐαγγελίῳ φησίν, ἀντὶ τοῦ Ἐλθέτω ἡ βασιλεία σου, Ἐλθέτω τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ καθαρισάτω ἡμᾶς. τί ἐροῦσιν πρὸς ταῦτα οἱ θρασυστομοῦντες κατὰ τοῦ πνεύματος; τίνι διανοίᾳ τὴν τῆς βασιλείας ἀξίαν εἰς ταπεινότητα δουλείας μετασκευάζουσιν; ὅπερ γὰρ Λουκᾶς μὲν πνεῦμα ἅγιον λέγει,

7-8 cf Ps 67, 18 18 Luc 11, 2 var lect

1 ἡ ζωὴ ἐν ἡμῖν Ψv 2 ἀφθαρσία WΨZ: ἀφθαρσίαν V(ν eras V)M ἡ ἀφθαρσία CE 3 ἄντικρυς προσάγομεν v 4 κυρίῳ: θεῷ ΨZv 5 τῶν ἀλλοφύλων ἡ φάλαγξ: ἡ παρεμβολὴ τῶν ἀλλοφύλων ΦZ (cf I Par 11, 15 al) 6 μὴ ἔστω τὸ σῶμα τοῦ πολεμίου τῆς ψυχῆς ὁρμητήριον post πόλεμος add Ψv om ΦZ ἡ om Ψv 8 εὐθυνόντων vk σου om ΨZv 9-10 τῶν πολεμούντων om ΦZ 11 τε om Φ ἀκαταμάχητος Ψv 11-12 ὁ πολεμούμενος om ΦZ φανείη Φ ὀδύνη καὶ om v καὶ om VΨ 15 τάχα om Zv λουκᾶ: λόγου ΦZ 16 τοῦ θεοῦ post βασιλείαν add Φ 17 τῷ om v 19 φησί ante τὸ ἅγιον add Φv om ΨZ τὸ ἅγιον πνεῦμά σου Ψv 20 πρὸς ταῦτα ante κατὰ coll Ψv τοῦ ἁγίου post πνεύματος add ΨZv 22 ὅπερ: ὃ Ψv ὁ ante λουκᾶς add Φ μὲν om ΦZ τοῦτο post λέγει add ΦZ

Ματθαῖος δὲ βασιλείαν ὠνόμασε, πῶς εἰς τὴν ὑποχείριον κτίσιν κατασπῶσιν, τὴν φύσιν τοῦ πνεύματος ἀντὶ τῆς βασιλευούσης τῇ βασιλευομένῃ συγκατατάσσοντες; ἡ κτίσις δουλεύει, ἡ δὲ δουλεία βασιλεία οὐκ ἔστιν. ἀλλὰ μὴν βασιλεία τὸ πνεῦμα τὸ ἅγιον· εἰ δὲ βασιλεία ἐστὶ βασιλεύει πάντως, οὐ βασιλεύεται. οὐκοῦν τῆς κατὰ τὴν κτίσιν κοινωνίας κεχώρισται. ὃ γὰρ βασιλεύει οὐ βασιλεύεται· ὃ δὲ μὴ βασιλεύεται οὐδὲ κτίσις ἐστίν. ἴδιον γὰρ τῆς κτίσεως τὸ δουλεύειν. εἰ οὖν βασιλεία τὸ πνεῦμα, πῶς τῇ δουλευούσῃ φύσει συναριθμοῦσιν; πῶς οὐχ ὁμολογοῦσι τὴν δεσποτείαν οἱ μηδέπω προσεύχεσθαι μεμαθηκότες, οἱ μηδὲ εἰδότες τίς ὁ καθαρίζων τὸ κεκοινωμένον, τίς δὲ ὁ τῆς βασιλείας ἐξηρτημένος τὴν ἐξουσίαν; Ἐλθέτω τὸ πνεῦμα τὸ ἅγιον, φησί, καὶ καθαρισάτω ἡμᾶς. οὐκοῦν ἰδία καὶ ἐξαίρετος τοῦ ἁγίου πνεύματος δύναμίς τε καὶ ἐνέργεια τὸ καθαίρειν τε καὶ ἀφιέναι τὰς ἁμαρτίας ἐστίν· οὐ γὰρ δὴ τὸ καθαρόν τε καὶ ἀμόλυντον τοῦ καθαρίζοντος δέεται. ἀλλὰ μὴν μόνῳ θεῷ δυνατὸν εἶναι τὸ ἀφιέναι τὰς ἁμαρτίας ὁ εὐαγγελικὸς λόγος μαρτύρεται. οὐκοῦν ὁ τὴν δύναμιν τῆς ἀφέσεως αὐτῷ τῶν ἁμαρτιῶν μαρτυρήσας συνεμαρτύρησε πάντως αὐτῷ τὴν θεότητα.

1 δὲ om ΦZ οὖν post πῶς add Z 2 κτίσιν ΨZ: φύσιν Φ (cf 3 et 9; Adv Mac III i 102, 18; 103, 32; 106, 17) τὴν φύσιν τοῦ πνεύματος ΦZ: οἱ θεομάχοι Ψv 3 φύσει post συγκατατάσσοντες add RKv φύσιν add O om ΦZ 4 ἀλλὰ μὴν—6 βασιλεύεται ΦZ (ut vid): τὸ δὲ πνεῦμα τὸ ἅγιον βασιλεία ἐστίν Ψv 6 οὐκοῦν—7 οὐ βασιλεύεται om ΦZ ὃ alt: εἰ WMZ 7-8 ὃ δὲ μὴ βασιλεύεται om V 8 ἐστίν post δουλεύειν add Ψv 9-10 πῶς τῇ—συναριθμοῦσιν ΦZC: om Ψv αὐτό post συναριθμοῦσιν add A(ex αὐτῶ corr A)CZ 10 πῶς—δεσποτείαν ΨC: om ΦZ ὁμολογήσουσι v 10-11 μηδέπω προσεύχεσθαι: μηδὲ προσεύχεσθαι πώποτε Ψv 11 μηδὲ: μὴ ΦZ 12 τὸ: τὸν Ψ τίς δὲ: τίς Φ καὶ τίς Z 12-13 ἐξηρτημένος τὴν ἐξουσίαν: ἀναδεδεγμένος τὸ κράτος Φ (cf ad 37, 17) 13 τὸ ἅγιον πνεῦμα Ψv σου post πνεῦμα add ΨZv 14 ἰδία ΨZ: ἡ θεία Φ (cf 59, 7; Adv Mac III i 105, 17) τε post ἰδία add Ψv 15 τε pr om Φ καθαίρειν ΨC: καθαρίζειν Φ τε καὶ ἀφιέναι ΨC: om ΦZ τὰς: τῆς V τὴν ἁμαρτίαν A (cf 41, 4) 16 ἐστίν ΦC: om Ψv 16-17 οὐ γὰρ—δέεται ΦZ: om ΨCv 17-18 ἀλλὰ μὴν—ἁμαρτίας C: om ΦΨZ ὡς v 18 ὁ εὐαγγελικὸς—20 θεότητα om ΦZ 19 αὐτῷ τῆς ἀφέσεως C

1160 M. Ἀλλὰ μὴν τὸ αὐτὸ τοῦτο καὶ τῷ μονογενεῖ προσμαρτυρεῖ ὁ ἀπόστολος· Καθαρισμόν, φησί, τῶν ἁμαρτιῶν ποιησάμενος ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ πατρός. οὐκοῦν ἓν ἑκατέρου τὸ ἔργον, τοῦ τε καθαρίζοντος τὴν ἁμαρτίαν πνεύματος καὶ τοῦ τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν πεποιηκότος Χριστοῦ. ὧν δὲ ἡ ἐνέργεια μία, καὶ ἡ δύναμις πάντως ἡ αὐτή ἐστιν. πᾶσα γὰρ ἐνέργεια δυνάμεώς ἐστιν ἀποτέλεσμα. εἰ οὖν καὶ ἐνέργεια καὶ δύναμις μία, πῶς ἔστιν ἑτερότητα φύσεως ὑπονοῆσαι ἐν οἷς οὐδεμίαν κατὰ τὴν δύναμίν τε καὶ ἐνέργειαν διαφορὰν ἐξευρίσκομεν; ὡς γὰρ οὐκ ἔστιν ἐν τοῖς τοῦ πυρὸς ἰδιώμασιν, ὅταν τὰ δύο, τὸ φωτίζον τε καὶ τὸ καῖον, ἴσον καὶ ὅμοιον ᾖ, νομίσαι τινὰ τοῦ ὑποκειμένου παραλλαγὴν εἶναι, οὕτως οὐκ ἄν τις σωφρονῶν μίαν ἐνέργειαν ἐκ τῆς θείας γραφῆς διδαχθεὶς τοῦ υἱοῦ καὶ τοῦ πνεύματος διαφοράν τινα φύσεως ὑπονοεῖν ἐναχθείη.

Ἀλλὰ μὴν προαποδέδεικται ταῖς τῶν εὐσεβούντων δόξαις τὴν αὐτὴν ἐπὶ πατρός τε καὶ υἱοῦ φύσιν εἶναι· μὴ γὰρ εἶναι δυνατὸν τὰ ἑτερογενῆ τῇ τοῦ θεοῦ κλήσει κατονομάζεσθαι, ὡς οὐ λέγεται βάθρον υἱὸς τοῦ τέκτονος οὐδ' ἄν τις εἴποι τῶν εὖ φρονούντων ὅτι ὁ οἰκοδόμος τὴν οἰκίαν ἐτεκνώσατο, ἀλλὰ τῇ τοῦ υἱοῦ καὶ τῇ τοῦ πατρὸς προσηγορίᾳ τὸ κατὰ τὴν

2 Hebr 1, 3

1 ἀλλὰ μὴν τὸ ΦΖ: τὸ δὲ Ψ'v τῷ μονογενεῖ: περὶ τοῦ μονογενοῦς Ψ'v προσμαρτυρεῖ ΦΖ: φησιν Ψ'v 2 ὅτι post ἀπόστολος add Ψ'v γάρ ante φησί add k φησί ΦΖ: om Ψ'v ἡμῶν post ἁμαρτιῶν add AEk 3 μεγαλοσύνης v οὐκοῦν ἓν: ἓν τοίνυν Ψ'v 4 ἑκατέρων Ψ'v 5 τῶν ἁμαρτιῶν ΨΖ: om Φ 6 δύναμις ΦΖ: φύσις Ψ'v 7 αὐτή ΦΖ: αὐτὴ τούτων Ψ'v πᾶσα—43, 15 διακόπτεσθαι om R (vide Praef I A 2) 9 νοῆσαι Ψ'v (cf 15) 9-10 δύναμίν τε καὶ ἐνέργειαν ΨΖ: ἐνέργειάν τε καὶ δύναμιν Φ 11 τὰ om Ψ'v τὰ δύο: ἐν δυσὶ C 12 ἴσον καὶ ὅμοιον ᾖ: ἐστι τὸ κοινωνεῖν v τινὰ om v 12-13 προκειμένου ὑπαλλαγὴν Ψ'v εἶναι om v εὐφρονῶν v 14 θείας om Ψ'v 15 ὑπονοῆσαι Φ ὑπονοεῖ v ἐναχθείη om v 16 μὴν: νῦν v προσαποδέδεικται VM εὐσεβῶν v 17 τε om Ψ'v γὰρ om v 18 θεοῦ WΨΖ: υἱοῦ VM 19 ὁ υἱὸς Ck τοῦ om Ψ'v μηδ' v 20 εὐφρονούντων v ὁ om Ψ'v τὴν οἰκίαν ἐτεκνώσατο: υἱὸν κατεσκευάσατο v 21 τῇ post καὶ om v

φύσιν συνημμένον σημαίνεται. ἀνάγκη πᾶσα, ὅταν τὰ δύο πρὸς τὸ ἓν οἰκείως ἔχῃ, καὶ μηδὲ πρὸς ἄλληλα διαφόρως ἔχειν ὥστε, εἰ τῷ πατρὶ κατὰ τὴν φύσιν ὁ υἱὸς ἥνωται, τῆς δὲ τοῦ υἱοῦ φύσεως διὰ τῆς τῶν ἐνεργειῶν ταὐτότητος οὐκ ἀλλότριον ἀπεδείχθη τὸ πνεῦμα τὸ ἅγιον, μία κατὰ τὸ ἀκόλουθον ἀποδέδεικται τῆς ἁγίας τριάδος ἡ φύσις, οὐ συγχεομένης ἐφ' ἑκάστης τῶν ὑποστάσεων τῆς κατ' ἐξαίρετον ἐπιθεωρουμένης αὐταῖς ἰδιότητος οὐδὲ τῶν γνωρισμάτων ἐν ἀλλήλοις ἀλλασσομένων ὥστε τὸ σημεῖον τῆς πατρικῆς ὑποστάσεως ἐπὶ τὸν υἱὸν ἢ τὸ πνεῦμα μετενεχθῆναι, ἢ τοῦ υἱοῦ πάλιν ἑνὶ τῶν προκειμένων ἐφαρμοσθῆναι, ἢ τὴν τοῦ πνεύματος ἰδιότητα τῷ πατρὶ καὶ τῷ υἱῷ ἐπιφαίνεσθαι. ἀλλ' ἐν τῇ κοινότητι τῆς φύσεως ἀκοινώνητος ἡ τῶν ἰδιαζόντων θεωρεῖται διάκρισις. ἴδιον τοῦ πατρὸς τὸ μὴ ἐξ αἰτίου εἶναι· τοῦτο οὐκ ἔστιν ἰδεῖν ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. ὅ τε γὰρ υἱὸς ἐκ τοῦ πατρὸς ἐξῆλθεν, καθώς φησιν ἡ γραφή, καὶ τὸ πνεῦμα ἐκ τοῦ θεοῦ καὶ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἀλλ' ὥσπερ τὸ ἄνευ αἰτίας εἶναι, μόνου τοῦ πατρὸς ὄν, τῷ υἱῷ καὶ τῷ πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται, οὕτω τὸ ἔμπαλιν τὸ ἐξ αἰτίας εἶναι, ὅπερ ἴδιόν ἐστι τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, τῷ πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. κοινοῦ δὲ ὄντος τῷ υἱῷ καὶ τῷ πνεύματι τοῦ μὴ ἀγεννήτως εἶναι, ὡς ἂν μή τις σύγχυσις περὶ τὸ ὑποκείμενον θεωρηθείη πάλιν ἔστιν ἄμικτον τὴν ἐν τοῖς ἰδιώμασιν αὐτῶν διαφορὰν ἐξευρεῖν, ὡς ἂν καὶ τὸ κοινὸν φυλαχθείη καὶ τὸ ἴδιον μὴ συγχυθείη. ὁ γὰρ μονογενὴς υἱὸς ἐκ τοῦ πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα.

16 Ioh 16, 28; cf 17, 8   17 Ioh 15, 26; cf I Cor 2, 12   27 Ioh 1, 14; cf Ioh 1, 18; 3, 16 et 18; I Ioh 4, 9

1 ἐπισημαίνεται v   2 καὶ om Φ   2-3 ἔχειν ὥστε εἰ: ἔχει v   4 τῆς om Ψ (sscr O²) v   6 συγχεομένη Ψv   7 τῶν ὑποστάσεων om v   κατ': κατὰ τὸ Ψv   9 ὥστε—43, 15 διακόπτεσθαι om v (vide Praef I A 2)   10 μετενεχθήσεται Ψ   12 τε ante καὶ add Φ   15 ἰδεῖν: ἴδιον ΦΖΣ   17 καὶ παρὰ τοῦ: καὶ ἐκ (vel παρὰ) (τοῦ) Σ om Ζ καὶ AC   22 τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ΦΖ   τοῦ om Φ   23 χύσις Φ   27 ἵστησιν αὐτοῦ ὁ λόγος Φ

τὸ δὲ ἅγιον πνεῦμα καὶ ἐκ τοῦ πατρὸς λέγεται καὶ [ἐκ] τοῦ υἱοῦ εἶναι προσμαρτυρεῖται. εἰ γάρ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, φησίν, οὗτος οὐκ ἔστιν αὐτοῦ. οὐκοῦν τὸ μὲν πνεῦμα τὸ ἐκ τοῦ θεοῦ ὂν καὶ Χριστοῦ ἐστι πνεῦμα. ὁ δὲ υἱὸς ἐκ τοῦ θεοῦ ὢν οὐκέτι καὶ τοῦ πνεύματος οὔτε ἐστὶν οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία ὡς δύνασθαι κατὰ τὸ ἴσον δι' ἀναλύσεως ἀντιστραφῆναι τὸν λόγον καί, ὥσπερ Χριστοῦ τὸ πνεῦμα λέγεται, οὕτω καὶ τοῦ πνεύματος Χριστὸν ὀνομάσαι. ταύτης τοίνυν τῆς ἰδιότητος τρανῶς καὶ ἀσυγχύτως τὸ ἕτερον τοῦ ἑτέρου διακρινούσης, τῆς δὲ κατὰ τὴν ἐνέργειαν ταὐτότητος τὸ κοινὸν μαρτυρούσης τῆς φύσεως, ἔρρωται δι' ἑκατέρων ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις ὡς καὶ ἀριθμεῖσθαι τὴν τριάδα διὰ τῶν ὑποστάσεων καὶ εἰς ἑτεροφυῆ τμήματα μὴ διακόπτεσθαι.

Τίς οὖν ἡ μανία τῶν πνευματομαχούντων, δουλεύειν τὸν κύριον δογματιζόντων; οἷς οὐδὲ Παῦλος διαμαρτυρόμενός ἐστιν ἀξιόπιστος, ὅς φησιν, Ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. ἢ τάχα τὸ Ἐλθέτω καθαιρετικὸν τῆς ἀξίας νομίζουσιν; εἶτα οὐκ ἀκούουσι τοῦ μεγάλου Δαβὶδ καὶ τὸν πατέρα πρὸς ἑαυτὸν ἕλκοντος καί, Ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, βοῶντος; εἰ οὖν ἐπὶ τοῦ πατρὸς τὸ ἐλθεῖν σωτήριον, πῶς ἐπὶ τοῦ πνεύματος τὸ ἐλθεῖν ἐπονείδιστον; ἢ τὸ καθαίρειν τῶν ἁμαρτιῶν σημεῖον ποιοῦνται τῆς κατὰ τὴν ἀξίαν ὑφέσεως; καὶ μὴν ἄκουε τῶν ἀπίστων Ἰουδαίων βοώντων ὅτι τὸ

3 Rom 8, 9; cf Gal 4, 6; II Cor 3, 17-18   18 II Cor 3, 17
21 Ps 79, 3

1 [ἐκ]: ἐκ ante τοῦ υἱοῦ habent VWMOEZΣ sed ἐκ ante hoc τοῦ eras WMOE et καὶ ante τοῦ in ras quasi aliquid deletum esset scr K² om AC   delevi (vide Praef I A 2)   3 φησίν ΨZ: post τις 2 coll Φ   4 τὸ ante ἐκ om VW   πνεῦμα ἐστίν Ψ   5 καὶ: ἐκ C om ZΣ   6 οὐδὲ: οὔτε ΦZ   6-7 ἀκολουθία αὕτη Ψ   8 λέγομεν ΨZ   οὐχ ante οὕτω sscr O²   9 ὀνομάζομεν ΨZ   16 δουλεύειν—18 ἐστιν alt om ΦZ   21 αὐτὸν VM   σαυτὸν W   22 τὸ ἐλθεῖν ἐπὶ τοῦ πατρὸς Φ   τὸ ante σωτήριον add R ras in O   23 καθαιρεσιν (sic) W καθαιρετικὸν K

ἀφιέναι ἁμαρτίας μόνου ἐστὶ τοῦ θεοῦ, περὶ τοῦ πατρὸς λέγοντες, Τί οὗτος λαλεῖ βλασφημίαν; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ θεός; εἰ οὖν ἀφίησι μὲν ἁμαρτίας ὁ πατήρ, αἴρει δὲ ὁ υἱὸς τοῦ κόσμου τὴν ἁμαρτίαν, καθαρίζει δὲ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῶν τῆς ἁμαρτίας μολυσμάτων οἷς ἂν ἐγγένηται, τί ἐροῦσιν οἱ τῇ ἰδίᾳ προσπολεμοῦντες ζωῇ; ἀλλ' ἐλθέτω ἐφ' ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον καὶ καθαρισάτω ἡμᾶς καὶ ποιήσειε δεκτικοὺς τῶν ὑψηλῶν τε καὶ 1161 M. θεοπρεπῶν νοημάτων τῶν διὰ τῆς προσευχῆς ἡμῖν παρὰ τῆς τοῦ σωτῆρος ὑποδεικνυμένων φωνῆς, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Δ'

Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

Ἤκουσά τινος ἰατρικοῦ τεχνικῶς περὶ τῆς κατὰ τὴν ὑγίειαν ἕξεως φυσιολογοῦντος· ἴσως δ' ἂν γένοιτο ἡμῖν καὶ πρὸς τὴν τῆς ψυχῆς εὐεξίαν οὐκ ἀπὸ σκοποῦ τὸ λεγόμενον. τὴν γὰρ ἐκ τοῦ μετρίου παρατροπὴν τῶν ἐν ἡμῖν στοιχείων τινὸς ἀρχὴν καὶ αἰτίαν τῆς κατὰ τὸ πάθος συστάσεως διωρίζετο· καὶ ἐκ τοῦ ἐναντίου πάλιν τὴν ἐπὶ τὸ οἰκεῖόν τε καὶ κατὰ φύσιν τῶν πλημμελῶς παρακινηθέντων ἀποκατάστασιν θεραπείαν ἔφασκεν τῆς νοσώδους αἰτίας εἶναι. καὶ διὰ τοῦτο σκοπεῖν ᾤετο δεῖν τί μάλιστα τῶν ἐν ἡμῖν ἐν ἀταξίᾳ κινουμένων διὰ τῆς ἰδίας ἐπικρατήσεως ἄτονον

2 Mar 2, 7; Luc 5, 21 4 Cf Ioh 1, 29; I Ioh 3, 5 14 sqq cf Plat Resp 444C-E; Symp 186B-E; Tim 82A; Leg 906C

1-2 περὶ τοῦ πατρὸς λέγοντες om ΦZ 2 λέγοντες vel φασίν post τί add Z φησί(ν) post οὗτος add Ψv φασὶν post οὗτος add k qui post θεοῦ 1 puncto distinxit βλασφημίαν ΦZ: βλασφημίας Ψv 4 πατήρ: θεός ΦZ 5 βολυσμάτων OR (μ- O^2 μ sscr R^2) 10 καὶ τὸ κράτος ΦKZ: om ORv 11 ἐτελεώθη λόγος γ' post ἀμήν add ZΣ 12 λόγος δ': τοῦ αὐτοῦ εἰς τὴν προσευχὴν (εἰς τὴν προσευχὴν om W) ὁμιλία δ' ΦA om Ψ(sed λόγος λζ' in marg scr K)E ὁμιλία δ' C λόγος δ' περὶ τοῦ ZΣ 13 γενηθήτω—γῆς EZΣ: om ΦA ὡς—γῆς om ΨC τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον add v 14 περὶ ΦZ: om Ψv 19 ἐπὶ: περὶ Φ 20-21 ἀποκαταστασίαν v 21 τινὰ post θεραπείαν add Φ ἔφασκεν τῆς ΨZ: ἐφ' ἑκάστης Φ 22 τί: ὅτι Ψv ὅ τι Z 23 κινούμενον VM

ποιεῖ τοῦ ἀντιστοιχοῦντος τὴν πρὸς τὴν ὑγίειαν συνεισφοράν· ὡς εἰ μὲν τὸ θερμὸν ἐπικρατοίη συμμαχεῖν τῷ δυναστευομένῳ καὶ ὑπονοτίζειν τὸ ξηραινόμενον, μή που τῆς ὕλης ἐπιλιπούσης μαρανθείη τελείως καὶ ἀποσβεσθείη ἐν αὐτῷ τὸ θερμόν, αὐτὸ περὶ ἑαυτὸ δαπανώμενον, ὡσαύτως καὶ εἴ τι τῶν ἄλλων τῶν κατὰ τὸ ἐναντίον ἐν ἡμῖν θεωρουμένων ἐκβαίνοι τὸν ὅρον, πρὸς τὸ πλεονάζον ἵστασθαι, τῷ ἐλαττουμένῳ τὴν ἀπὸ τῆς τέχνης συμμαχίαν ἐπάγοντας· τούτων δὲ γενομένων καὶ μηδενὸς τῇ τῶν στοιχείων ἰσονομίᾳ παρεμποδίζοντος, ἐπανάγεσθαι τὴν ὑγίειαν τῷ σώματι, μηκέτι τῆς φύσεως κατὰ τὴν κρᾶσιν ἀνωμαλούσης. τί δή μοι βούλεται τὸ μακρὸν τοῦτο τοῦ λόγου προοίμιον; τάχα οὐκ ἔξω τοῦ σκοποῦ τὸ θεώρημα οὐδὲ πόρρω που τῆς προκειμένης ὑποθέσεως ἀπεσχοίνισται. πρόκειται γὰρ ἡμῖν εἰς θεωρίαν τὸ Γενηθήτω τὸ θέλημά σου. ὅτου δὲ χάριν ἐμνήσθημεν τοῦ κατὰ τὴν ἰατρικὴν θεωρήματος διὰ τῶν ἐφεξῆς σαφηνίσωμεν.

Ἦν ἐν ὑγιείᾳ ποτὲ νοητῇ τὸ ἀνθρώπινον, οἷόν τινων στοιχείων, τῶν τῆς ψυχῆς λέγω κινημάτων, κατὰ τὸν τῆς ἀρετῆς λόγον ἰσοκρατῶς ἐν ἡμῖν κεκραμένων. ἐπεὶ δὲ τοῦ ἐπιθυμητικοῦ κατισχύσαντος ἡ ἐκ τοῦ ἐναντίου νοουμένη διάθεσις, ἥτις ἐστὶν ἐγκράτεια, κατεκρατήθη τῷ πλεονάζοντι, καὶ τὴν ἄμετρον τῆς ἐπιθυμίας ἐπὶ τὰ μὴ δέοντα κίνησιν τὸ κωλῦον οὐκ ἦν, ἐκ τούτου τὸ ἐπιθανάτιον νόσημα, ἡ ἁμαρτία, τῇ ἀνθρωπίνῃ συνέστη φύσει. ὁ τοίνυν ἀληθὴς ἰατρὸς τῶν τῆς ψυχῆς παθημάτων ὁ διὰ τοὺς κακῶς ἔχοντας ἐν τῇ ζωῇ τῶν ἀνθρώπων γενόμενος, τοῖς ἐν τῇ προσευχῇ

9 cf Alcmaeon Fr 4 DK[6]; Phil Iud De spec leg I, 208

1 ποιεῖν Ψv 2 ἐπικρατῇ v συμμαχεῖν ΦZ: συμμαχίαν Ψv (cf 8) καὶ ante τῷ add v 3 παρατρέχειν ante καὶ add O παρέχειν add RK παρασχεῖν add v om ΦZ ὑπονοστίζειν Ψ (in -νοτ- corr O) που om Φ ὑπολειπούσης Φ ὑπολιπούσης v 4 ὑποσβεσθῇ Φ ἑαυτῷ Ψv 5 ἑαυτὸ: ἑαυτῷ ORv εἴ τι: ἐπὶ ΦZ 6 εἰ ante ἐκβαίνοι add Z 9 τῆς—ἰσονομίας v ἐμποδίζοντος Ψv 12 τοῦτο ΨZ: om Φ ἔξω τοῦ: ἀπὸ ΨACv σκοποῦ: καιροῦ ACZ 14 ἡμῖν post θεωρίαν coll v 16 σαφηνίσομεν WΨ(o e corr ut vid K)v 17 νοητῇ ποτε ΦZ νοητῇ τὸ: τὸ νοητὸν v οἵων WK 20 ἐκ τοῦ: αὐτοῦ v 21 ἥτις ἐστὶν: ἡ Ψv 24 ἰατρὸς ἀληθὴς Ψv

νοήμασι τὸ νοσοποιὸν αἴτιον ὑπεκλύων, ἐπανάγει ἡμᾶς ἐπὶ τὴν νοητὴν ὑγίειαν. ὑγίεια δέ ἐστι ψυχῆς ἡ τοῦ θείου θελήματος εὐοδία, ὥσπερ δὴ καὶ τὸ ἔμπαλιν τὸ ἐκπεσεῖν τοῦ θείου θελήματος νόσος ἐστὶ ψυχῆς τελευτῶσα εἰς θάνατον. ἐπεὶ οὖν ἠσθενήσαμεν, τὴν ἀγαθὴν ἐν τῷ παραδείσῳ δίαιταν καταλιπόντες, ὅτε τοῦ δηλητηρίου τῆς παρακοῆς ἀνέδην **1164 M.** ἐνεφορήθημεν καὶ διὰ τοῦτο τῷ πονηρῷ τούτῳ καὶ ἐπιθανατίῳ νοσήματι κατεκρατήθη ἡ φύσις, ἦλθεν ὁ ἀληθινὸς ἰατρὸς ὁ κατὰ τὸν νόμον τῆς ἰατρικῆς διὰ τῶν ἐναντίων τὸ κακοῦν ἐξιώμενος, καὶ τοὺς διὰ τοῦτο τῇ ἀρρωστίᾳ συνενεχθέντας ὅτι τοῦ θείου θελήματος ἐχωρίσθησαν πάλιν ἐλευθεροῖ τοῦ νοσήματος τῇ πρὸς τὸ βούλημα τοῦ θεοῦ συναφείᾳ. τὰ γὰρ τῆς προσευχῆς ῥήματα θεραπεία ἐστὶ τῆς ἐγγενομένης τῇ ψυχῇ ἀρρωστίας. εὔχεται γὰρ οἷόν τισιν ὀδύναις τὴν ψυχὴν συνεχόμενος ὁ λέγων, Γενηθήτω τὸ θέλημά σου. θέλημα δὲ θεοῦ ἡ σωτηρία τῶν ἀνθρώπων ἐστίν. ἐπειδὰν τοίνυν εἰς τοῦτο στῶμεν ὥστε εἰπεῖν τῷ θεῷ ὅτι Γενηθήτω καὶ ἐν ἐμοὶ τὸ θέλημά σου, ἀνάγκη πᾶσα πρότερον κατειπεῖν ἐκείνου τοῦ βίου ὃς ἔξω τοῦ θείου βουλήματος ἦν καὶ ταῦτα ἐν τῇ ἐξαγορεύσει διεξελθεῖν ὅτι Ἐπειδὴ κακῶς ἐνήργησεν ἐν ἐμοὶ διὰ τοῦ φθάσαντος βίου τὸ ἀντικείμενον θέλημα καὶ ὑπηρέτης ἐγενόμην τοῦ πονηροῦ τυράννου, οἷόν τις δήμιος τὴν τοῦ ἐχθροῦ ψῆφον εἰς πέρας κατ' ἐμαυτοῦ φέρων, τούτου χάριν οἶκτον λαβὼν τῆς ἀπωλείας μου δός ποτε καὶ τὸ σὸν ἐν ἐμοὶ θέλημα γενέσθαι. ὥσπερ γὰρ ἐν τοῖς ζοφώδεσι τῶν σπηλαίων φωτὸς εἰσκομισθέντος ὁ ζόφος ἐξαφανίζεται, οὕτω τοῦ σοῦ θελήματος ἐν ἐμοὶ γενομένου πᾶσα πονηρὰ καὶ ἄτοπος τῆς προαιρέσεως κίνησις εἰς τὸ μὴ ὂν περιστήσεται. ἡ γὰρ

2 τῆς ψυχῆς Ψv 3 εὐωδία VM καὶ τὸ ἔμπαλιν: πάλιν Ψv 4 θείου: ἀγαθοῦ Ψv θεοῦ Z τελευτώσης Ψv 6 ἀνέδην (-ναίδ- Φ): ἄρδην Ψv ἀναιδῶς (ut vid) Z 8-9 ὁ ante κατὰ ΦZ: om Ψv 9 κακὸν Ψv 13 ἐγγινομένης Ψv 14 ἀρρωστίας: ἁμαρτίας ΦZ 15 ὁ om Φ θέλημα δὲ—18 σου om Φ habent ΨZ δὲ om A ἡ om A 17 ὅτι om A 18 πᾶσα πρότερον ἀνάγκη Φ 24-25 ἐν ἐμοί post γενέσθαι coll Ψv 26 ἀφανίζεται v 28 κίνησις ante τῆς 27 coll Φ περιίσταται Ψv

σωφροσύνη σβέσει τὴν ἀκόλαστον καὶ ἐμπαθῆ τῆς διανοίας ὁρμήν· ἡ ταπεινοφροσύνη καταναλώσει τὸν τῦφον· ἡ μετριότης ἰάσεται τῆς ὑπερηφανίας τὴν νόσον· τὸ δὲ τῆς ἀγάπης ἀγαθὸν πολὺν κατάλογον τῶν ἀντικειμένων κακῶν τῆς ψυχῆς ἀπελάσει· ταύτης γὰρ ἐν ἐμοὶ γενομένης ὑποχωρεῖ τὸ μῖσος, ὁ φθόνος, ἡ μῆνις, ἡ κατ᾽ ὀργὴν κίνησις, ἡ θυμώδης διάθεσις, ἡ ἐπιβουλή, ἡ ὑπόκρισις, ἡ τῶν λυπηρῶν μνήμη, ἡ τῆς ἀντιλυπήσεως ὄρεξις, ἡ περικάρδιος τοῦ αἵματος ζέσις, ὁ πικρὸς ὀφθαλμός. πᾶσα ἡ τῶν τοιούτων κακῶν ἀγέλη τῇ ἀγαπητικῇ διαθέσει ἐξαφανίζεται. οὕτως ἐκβάλλει τὴν διπλῆν εἰδωλολατρίαν ἡ ἐνέργεια τοῦ θείου βουλήματος, διπλῆν δέ φημι τήν τε περὶ τὰ εἴδωλα μανίαν καὶ τὴν περὶ τὸ ἀργύριον καὶ χρυσίον ἐπιθυμίαν, ἅπερ εἴδωλα τῶν ἐθνῶν ὁ τῆς προφητείας ὠνόμασε λόγος. Γενηθήτω τοίνυν τὸ θέλημά σου, ἵνα σβεσθῇ τοῦ διαβόλου τὸ θέλημα. διὰ τί δὲ παρὰ τοῦ θεοῦ γενέσθαι τὴν ἀγαθὴν ἡμῖν προαίρεσιν ἐπευχόμεθα; ὅτι ἀσθενὴς ἡ ἀνθρωπίνη φύσις πρὸς τὸ ἀγαθόν ἐστιν, ἅπαξ διὰ κακίας ἐκνευρισθεῖσα. οὐ γὰρ μετὰ τῆς αὐτῆς εὐκολίας πρός τε τὸ κακὸν ὁ ἄνθρωπος ἔρχεται καὶ ἀπὸ τούτου πάλιν ἐπὶ τὸ ἀγαθὸν ἐπανέρχεται, ὥσπερ καὶ ἐπὶ τῶν σωμάτων ἔστι κατανοῆσαι τὸν τοιοῦτον λόγον, ὅτι οὐχ ὁμοίως οὐδὲ μετὰ τῆς ἴσης ῥαστώνης τό τε ὑγιαῖνον ἐν νόσῳ γίνεται καὶ τὸ νενοσηκὸς ὑγιάζεται. ὁ γὰρ ἐν ὑγιείᾳ τέως διάγων καὶ δι᾽ ἑνὸς πολλάκις τραύματος εἰς τὸν περὶ τῶν ἐσχάτων κίνδυνον ἦλθεν, καὶ μία περίοδος ἢ καταβολὴ πυρετοῦ πάντα τὸν τοῦ σώματος τόνον διέλυσεν, καὶ βραχεῖα δηλητηρίου γεῦσις ἢ παντελῶς διέφθειρεν ἢ παρ᾽ ὀλίγον τοῦτο ἐποίησεν, καὶ δήγματι ἑρπετοῦ ἢ κέντρῳ τινὶ τῶν ἰοβόλων ἢ
1165 M. ὀλισθήματι ἢ καταπτώματι ἢ πλείονι τῆς δυνάμεως ἀδηφαγίᾳ ἢ ἄλλῳ τινὶ τοιούτῳ εὐθέως ἐπηκολούθησεν ἢ νόσος ἢ

8 cf Aristot De an I, 1, 403a30-31 14 Ps 113, 12

5 ταύτης ΦΖ: ταύτη Ψ ταύτην v ἐν ἐμοὶ γενομένης ΦΖ: om Ψv 9 πᾶσα: ταῦτα v τῶν om v 11 διπλῆν om v θεοῦ v θελήματος Φ (cf 48, 28; 50, 11) 12 μανίαν om v 13 ἐπιθυμίαν ΦΖ: μανίαν Ψv 16 τὴν ante παρὰ add v 19 ἧς ante πρός add v τε om v 28 ζώων post ἰοβόλων add Φ

θάνατος· ἡ δὲ τοῦ ἀρρωστήματος ἀπαλλαγὴ πόσαις ἐπινοίαις γίνεται καὶ δυσκολίαις καὶ τέχναις ἰατρικαῖς, ἐὰν ἄρα καὶ γένηται. διὰ τοῦτο πρὸς μὲν τὸ κακὸν ἡμῖν τῆς ὁρμῆς γενομένης οὐ χρεία τοῦ συνεργοῦντος, αὐτομάτως ἐν τῷ θελήματι ἡμῶν τῆς κακίας ἑαυτὴν τελειούσης· εἰ δὲ πρὸς τὸ κρεῖττον γένοιτο ἡ ῥοπή, τοῦ θεοῦ χρεία τοῦ τὴν ἐπιθυμίαν εἰς ἔργον ἄγοντος. διὰ τοῦτό φαμεν ὅτι Ἐπειδὴ θέλημά σού ἐστιν ἡ σωφροσύνη, ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν, τῇ σῇ δυνάμει κατορθωθείη μοι τὸ ἀγαθὸν τοῦτο θέλημα. οὕτως ἡ δικαιοσύνη, ἡ εὐσέβεια, ἡ τῶν παθῶν ἀλλοτρίωσις· ἡ γὰρ τοῦ θελήματος φωνὴ πάσας γενικῶς ἐμπεριλαμβάνει τὰς ἀρετάς, καὶ τὰ καθ' ἕκαστον τῶν ἐν ἀγαθῷ νοουμένων ἐν τῷ θελήματι τοῦ θεοῦ θεωρεῖται.

Ἀλλὰ τί βούλεται ἡ προσθήκη τοῦ λόγου, Ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς; τάχα μοι δοκεῖ τῶν βαθυτέρων τι δογμάτων ὑποσημαίνειν ὁ λόγος καί τινα ποιεῖσθαι διδασκαλίαν θεοπρεποῦς διανοίας ἐν τῇ θεωρίᾳ τῆς κτίσεως. ὃ δὲ λέγω τοιοῦτόν ἐστιν· μεμέρισται πᾶσα ἡ λογικὴ κτίσις εἴς τε τὴν ἀσώματον καὶ τὴν ἐν σώματι φύσιν. ἔστι δὲ ἡ ἀγγελικὴ μὲν ἡ ἀσώματος, τὸ δὲ ἕτερον εἶδος ἡμεῖς οἱ ἄνθρωποι. ἡ μὲν οὖν νοητή, ἅτε δὴ τοῦ βαροῦντος κεχωρισμένη σώματος, τούτου λέγω τοῦ ἀντιτύπου τε καὶ εἰς γῆν βρίθοντος, τὴν ἄνω λῆξιν ἐπιπορεύεται, τοῖς κούφοις τε καὶ αἰθεριώδεσι τόποις ἐνδιατρίβουσα ἐν ἐλαφρᾷ τε καὶ εὐκινήτῳ τῇ φύσει· ἡ δὲ ἑτέρα διὰ τὴν τοῦ σώματος ἡμῶν πρὸς τὸ γεῶδες συγγένειαν, οἱόν τινα ἰλύος ὑποστάθμην, κατ' ἀνάγκην τὸν περίγειον τοῦτον εἴληχε βίον. οὐκ οἶδα μὲν ὅ τι τοῦ θείου βουλήματος διὰ τούτων οἰκονομοῦντος, εἴτε πᾶσαν πρὸς ἑαυτὴν οἰκειοῦντος τὴν κτίσιν, ὡς ἂν μήτε τῶν οὐρανίων

8-9 Rom 7, 14 20 sqq cf Plat Phaedr 246B-248C; Plotin I, vi, 5; IV, viii, 4

1 πόσαις ΦΖ: πολλαῖς Ψv 4 γινομένης Ψ(ι ex ε corr O)v 12-13 ἐν ἀγαθῷ: ἀγαθῶν V ἐν τῷ ἀγαθῷ Ψv 15 τῆς om Ψ 18 πᾶσα ΨΖ: om Φ (cf 49, 12) 19 ἐν σώματι: ἐνσώματον v ἡ ante ἀγγελικὴ om Ψv 24 ἐν om Φ τῇ om Φ 29 ἑαυτὸν ΦΖ

ὑψωμάτων ἡ κάτω λῆξις ἄμοιρος εἴη μήτε ὁ οὐρανὸς καθόλου τῶν κατὰ τὴν γῆν ἀμοιρήσειεν, ὡς ἂν γένοιτό τις διὰ τοῦ ἀνθρωπίνου πλάσματος ἑκατέρῳ τῶν στοιχείων μετουσία τῶν ἐν θατέρῳ νοουμένων, τοῦ τε νοεροῦ τῆς ψυχῆς, ὅπερ δοκεῖ συγγενές τε καὶ ὁμόφυλον τῶν κατὰ τὸν οὐρανὸν εἶναι δυνάμεων, τοῖς γηΐνοις σώμασιν ἐνοικοῦντος, τῆς τε γεηρᾶς ταύτης σαρκὸς ἐν τῇ ἀποκαταστάσει τῶν πάντων εἰς τὸν οὐράνιον χῶρον τῇ ψυχῇ συμμετοικιζομένης—Ἁρπαγησόμεθα γάρ, καθώς φησιν ὁ ἀπόστολος, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα— εἴτε οὖν τοῦτο εἴτε τι ἕτερον παρὰ τοῦτο τῆς τοῦ θεοῦ σοφίας οἰκονομούσης, ἐν τῇ διπλῇ ταύτῃ ζωῇ μερισθεῖσα πᾶσα ἡ λογικὴ διῄρηται φύσις, ἡ μὲν ἀσώματος τὴν οὐράνιον λαχοῦσα μακαριότητα, ἡ δὲ διὰ σαρκὸς εἰς τὴν γῆν ἐπιστρεφομένη διὰ τὴν πρὸς αὐτὴν οἰκειότητα. ἡ μέντοι τοῦ καλοῦ τε καὶ ἀγαθοῦ ἐπιθυμία ὁμοτίμως ἑκατέρᾳ συνουσιώθη τῇ
1168 M. φύσει, καὶ τὸ αὐτοκρατές τε καὶ αὐτεξούσιον καὶ πάσης ἀνάγκης ἐλεύθερον ἴσον ἐπ᾿ ἀμφοῖν ὁ τοῦ παντὸς ἐπιστάτης ἐποίησεν, ὡς αὐτονόμῳ τινὶ προαιρέσει οἰκονομεῖσθαι πᾶν ὅσον λόγῳ τε καὶ διανοίᾳ τετίμηται. ἀλλ᾿ ἡ μὲν ἄνω ζωὴ καθαρεύει πάσης κακίας, καὶ οὐδὲν ἐν ἐκείνοις τῶν ἐκ τοῦ ἐναντίου νοουμένων συμπολιτεύεται· πᾶσα δὲ ἐμπαθὴς κίνησίς τε καὶ διάθεσις τὴν κάτω ζωὴν περιπολεῖ, ἐν οἷς ἐστι τὸ ἀνθρώπινον. διὰ τοῦτο τὴν ἐν οὐρανοῖς τῶν ἁγίων δυνάμεων πολιτείαν ἀμιγῆ τε κακίας καὶ παντὸς τοῦ ἐξ ἁμαρτιῶν μολύσματος καθαρεύουσαν ὁ θεόπνευστος ἐπίσταται λόγος. πᾶν δὲ ὅσον ἐκτὸς τοῦ ἀγαθοῦ δι᾿ αὐτῆς τῆς ἀναχωρή-

9 I Thess 4, 17 22-26 cf Plat Theaet 176A 27 sqq cf Plotin I, viii, 7; VI, ix, 9

1 ἄμοιρος εἴη: ἀμοιρήσῃ Ψ ἀμοιρήσειε v 3 ἑκατέρων ΦZ 5 κατα τόυρανον (sic) O κατ᾿ οὐρανὸν R(ex -ῶν corr R)K κατ᾿ οὐρανῶν v 6 τε: δὲ v 8 τῇ ψυχῇ συμμετοικιζομένης: μετὰ τῆς ψυχῆς ἐπιδημούσης V τῆς ψυχῆς μετοικιζομένης WM 11 τι ΨZ: om Φ 14 εἰς om Φ τὴν om v 21 πάσης: πάντῃ ΨZ (ut vid)v οὐδὲ ORv ἐν: om CZk (cf 50, 14) ἓν v ἐκείνῃ Zv ἐκ τοῦ om V(in marg add V[2])W 25 τε om Ψv 26 ἁμαρτίας ACv μολυσμοῦ Ψv 27 ἐκτὸς: ἐκ WM

σεως αὐτοῦ παρυπέστη κακὸν περὶ τὴν κοίλην ταύτην ζωὴν οἷόν τις τρυγία τε καὶ ἰλὺς συνερρύη, ᾗ μολύνεται τὸ ἀνθρώπινον πρὸς τὸ κατιδεῖν τὸ θεῖον τῆς ἀληθείας φῶς, διὰ τοῦ τοιούτου σκότους ἐμποδιζόμενον. εἰ τοίνυν ἀπαθὴς μὲν ἡ ὑπερκειμένη ζωὴ καὶ ἀκήρατος, παντοίοις δὲ πάθεσι καὶ ταλαιπωρίαις καταβεβάπτισται ἡ ἀθλιότης τῆς ὧδε ζωῆς, δῆλον ἂν εἴη ὅτι ἡ μὲν ἄνω πολιτεία, ἅτε παντὸς κακοῦ καθαρεύουσα, ἐν τῷ ἀγαθῷ θελήματι τοῦ θεοῦ κατορθοῦται—ἐν οἷς γὰρ κακὸν οὐκ ἔστιν ἀνάγκη πᾶσα τὸ ἀγαθὸν εἶναι—ἡ δὲ καθ' ἡμᾶς ζωή, τῆς τῶν ἀγαθῶν μετουσίας ἐκπεπτωκυῖα, συνεκπέπτωκεν καὶ τοῦ θείου βουλήματος. διὰ τοῦτο ἐν τῇ προσευχῇ διδασκόμεθα οὕτως ἡμῶν τοῦ κακοῦ τὴν ζωὴν ἐκκαθαρθῆναι ὡς καθ' ὁμοιότητα τῆς οὐρανίου διαγωγῆς καὶ ἐν ἡμῖν ἀνεμποδίστως τὸ θέλημα τοῦ θεοῦ πολιτεύσασθαι, ὡς ἄν τις λέγοι ὅτι Καθάπερ ἐν θρόνοις καὶ ἀρχαῖς καὶ ἐξουσίαις καὶ κυριότησι καὶ πάσῃ τῇ ὑπερκοσμίῳ δυνάμει γίνεταί σου τὸ θέλημα, μηδαμοῦ κακίας παραποδιζούσης τοῦ ἀγαθοῦ τὴν ἐνέργειαν, οὕτω καὶ ἐν ἡμῖν τὸ ἀγαθὸν τελειωθείη ἵνα πάσης κακίας ἐκποδὼν γενομένης διὰ πάντων ᾖ τὸ θέλημά σου ταῖς ψυχαῖς ἡμῶν κατευοδούμενον.

'Αλλ' ὡς ἀνθυπενεγκόντος τινός, Καὶ πῶς ἐστι δυνατὸν τὴν ἐν ταῖς ἀσωμάτοις δυνάμεσι καθαρότητα τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι κατορθωθῆναι, ἐν μυρίαις φροντίσι διὰ τὰς σωματικὰς χρείας τῆς ψυχῆς βαθυνούσης; διὰ τοῦτό μοι δοκεῖ, καθάπερ λύων τὴν τοιαύτην ἀμηχανίαν, τῷ ἑξῆς λόγῳ τὸ δοκοῦν δυσχερὲς πρὸς τὴν προκειμένην σπουδὴν ὑπεκλῦσαι. δόγμα γὰρ οἶμαι διὰ τούτων τῶν λόγων ἡμῖν ὑποτίθεσθαι ἐν τῷ τὸν ἐφήμερον ἄρτον αἰτεῖν προστάξαι, ὅτι τῷ ἀνενδεεῖ κατὰ τὴν φύσιν τὸ ὀλιγαρκές τε καὶ μέτριον

1-4 cf Plat Phaedon 109C-110A 15-16 cf Col 1, 16; Eph 1, 21

1 κοίλην ΨΖ: κοινὴν Φ (cf Beat 78, 1) 2 οἷά Φ τρυγίας VK 3 θεῖον ΨΖ: om Φ 8 ἐν οἷς: ἔνθα ΨΖv (cf 49, 21 ἐν ἐκείνοις) 9 τὸ om v 10 τῶν ἀγαθῶν ΨΖ: τοῦ ἀγαθοῦ Φ 13 οὐρανίας Ψ 14 ἐμπολιτεύεσθαι Φ 17 παρεμποδιζούσης Φ 24 ἐμβαθυνούσης Ψv

κατὰ τὸν τῆς ἀπαθείας λόγον συνεξισοῦται. οὐ γὰρ αἰτεῖ τὸν θεὸν ἐν ταῖς προσευχαῖς ὁ ἄγγελος τὴν χορηγίαν τοῦ ἄρτου ὅτι ἀπροσδεῆ κέκτηται τῶν τοιούτων τὴν φύσιν. αἰτεῖν δὲ προσετάχθη ὁ ἄνθρωπος διότι τὸ κενούμενον ἐπιδεὲς τοῦ ἀναπληροῦντος πάντως ἐστίν, ῥοώδης δὲ καὶ παροδικὴ τῆς ἀνθρωπίνης ζωῆς ἐστιν ἡ σύστασις, ἀντὶ τοῦ ἐκποιηθέντος τὸ ἀνανεάζον ἐπιζητοῦσα. ὁ οὖν πρὸς τὴν τῆς
1169 M. φύσεως ὑπηρεσίαν βλέπων καὶ μηδὲν ἔξω τοῦ ἀναγκαίου διὰ τῶν ματαίων φροντίδων ἐπισυρόμενος οὐ πολὺ τῆς ἀγγελικῆς πολιτείας ἐλαττωθήσεται, τὸ ἀνενδεὲς ἐκείνων καθ᾽ ἑαυτὸν τῇ ὀλιγαρκίᾳ μιμούμενος. διὰ τοῦτο ζητεῖν προσετάχθημεν τὸ πρὸς τὴν συντήρησιν ἐξαρκοῦν τῆς σωματικῆς οὐσίας, Τὸν ἄρτον δός, τῷ θεῷ λέγοντες, οὐ τρυφὴν οὐδὲ πλοῦτον, οὐκ εὐανθεῖς ἁλουργίδας, οὐ τὸν ἐκ χρυσοῦ κόσμον, οὐ τὰς τῶν λίθων αὐγάς, οὐ τὰ ἐξ ἀργύρου σκεύη, οὐ γῆς περιουσίαν, οὐ στρατοπέδων ἀρχήν, οὐ πόλεων καὶ ἐθνῶν ἡγεμονίαν, οὐχ ἵππων τε καὶ βοῶν ἀγέλας καὶ τῶν ἄλλων βοσκημάτων πλήθη πολλά, οὐκ ἀνδραπόδων περιουσίαν, οὐ τὴν ἐν ἀγοραῖς περιφάνειαν, οὐ στήλας, οὐκ εἰκόνας, οὐ τὰ ἐκ σηρῶν ὑφάσματα, οὐ τὰ ἐκ μουσικῆς ἀκροάματα, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν δι᾽ ὧν ἀφέλκεται ἡ ψυχὴ τῆς θείας τε καὶ προτιμοτέρας φροντίδος, ἀλλὰ τὸν ἄρτον. ὁρᾷς τὸ πλάτος τῆς φιλοσοφίας, ὅσα δόγματα τῇ βραχείᾳ ταύτῃ φωνῇ περιείληπται; μονονουχὶ φανερῶς ἐμβοᾷ διὰ τοῦ λόγου τοῖς ἐπαΐουσιν ὅτι Παύσασθε, οἱ ἄνθρωποι, περὶ τὰ μάταια ταῖς ἐπιθυμίαις διαχεόμενοι· παύσασθε τὰς τῶν

9-10 cf Ps 8, 6; Hebr 2, 9

1 ἀπαθείας Ψ (inter α et π tres fere litt eras K) Z: ἀληθείας Φ 5 δὲ: τε Φ γὰρ Z 6 παροδικὴ ΨZ: ἀναπληρωτικὴ Φ 8 τῶν ἀναγκαίων Φ 10 ἐκείνων καθ᾽ ἑαυτὸν: om Φ αὐτῶν (ut vid) Z (cf 49, 21 ἐκείνοις) 14 χρυσίου Ψv 15 ἀργυρίου v 16 πόλεων ΦZ: πολέμων Ψv τε ante καὶ add Ψv 19 ἀγοραῖς ΨZ: ἀγροῖς Φ ὑπερηφανίαν VA (deest M) 20 σηρῶν: schol σηρικῶν τῶν σκωληκων της μεταξης (sic) in marg scr V τῶν σηρῶν M σηρίκων (sic) A (cf Beat 86, 7) 21 ἄλλο ΦZ: om Ψv ἀφέληται v 25 οἱ: om Φ ὦ Z

πόνων ἀφορμὰς καθ᾽ ὑμῶν αὐτῶν πλεονάζοντες. μικρόν ἐστί σοι τὸ ἐκ φύσεως ὄφλημα· τροφὴν χρεωστεῖς τῷ σαρκίῳ σου, πρᾶγμα μέτριόν τε καὶ εὐπόριστον εἰ πρὸς τὴν χρείαν βλέπεις. διὰ τί κατὰ σεαυτοῦ πολυπλασιάζεις τοὺς φόρους; ὑπὲρ τίνος τοσούτοις ὀφλήμασι σεαυτὸν φέρων ὑπέζευξας, ἄργυρον μεταλλεύων καὶ χρυσὸν ὀρύσσων καὶ τὴν διαφαίνουσαν ὕλην ἀναζητῶν; ὡς ἄν σοι διὰ τούτων ὁ διηνεκὴς οὗτος φορολόγος ἡ γαστὴρ τρυφῴη, ἧς τὸ χρέος ἄρτος ἐστὶν ὁ ἀναπληρῶν τὸ ἐνδέον τῷ σώματι. σὺ δὲ εἰς Ἰνδοὺς ἐμπορεύῃ καὶ βαρβαρικῇ παρακινδυνεύεις θαλάσσῃ καὶ ἐνιαυσίοις ναυτιλίαις σεαυτὸν ἐπιδίδως ἵνα τοῖς ἐκεῖθεν ἀγωγίμοις τὴν τροφὴν ἡδύνῃς, οὐ σκοπῶν ὅτι μέχρι τῆς ὑπερῴας ἡ τῶν ἡδυσμάτων αἴσθησις τὸν ὅρον ἔχει. ὡσαύτως δὲ τὸ εὐφανές, τὸ εὔπνουν, τὸ εὔστομον ὠκύμορόν τινα καὶ ἀκαριαίαν παρέχεται τῇ αἰσθήσει τὴν χάριν· ἀπὸ δὲ τῆς ὑπερῴας ἀδιάκριτος ἡ τῶν ἐμβαλλομένων διαφορά, ὁμοτίμως τὰ πάντα τῆς φύσεως πρὸς δυσωδίαν ἀλλοιούσης. ὁρᾷς τὸ πέρας τῆς ὀψοποιΐας; ὁρᾷς τὸ ἀποτέλεσμα τῆς ὀψαρτυτικῆς μαγγανείας; τὸν ἄρτον αἴτει διὰ τὴν τῆς ζωῆς χρείαν· τούτου σε ὀφειλέτην ἐποίησεν ἡ φύσις τῷ σώματι. τὰ δ᾽ ὅσα παρεύρηται ταῖς τῶν τρυφώντων χλιδαῖς, ταῦτα τῆς τῶν ζιζανίων ἐστὶ παρασπορᾶς. ὁ σπόρος τοῦ οἰκοδεσπότου ὁ σῖτός ἐστιν, ἐκ δὲ τοῦ σίτου ὁ ἄρτος γίνεται· ἡ δὲ τρυφὴ τὸ ζιζάνιον ὃ παρεσπάρη παρὰ τοῦ ἐχθροῦ τῷ σίτῳ. ἀλλ᾽ ἀφέντες οἱ ἄνθρωποι διὰ τῶν ἀναγκαίων λειτουργεῖν τῇ φύσει ὄντως συμπνίγονται, καθώς φησί που ὁ λόγος, ταῖς περὶ τὰ μάταια

18-19 cf Athen Deipn I, 9c (ὀψαρτ. μαγγ.) 21-24 cf Matth 13, 24-30 26 Luc 8, 14; cf Matth 13, 22; Mar 4, 7 et 19

2 ἐκ: τῆς Ψv 4 βλέποις VM κατὰ σεαυτοῦ ante τοὺς coll Ψv 7 ὡς ἄν: ὅπως Φ τούτων ΦΖ: τῶν τοιούτων Ψv 8 τρυφῴη ἧς: τρυφῶν ἧ VM τροφῶν (e τρυφὼν corr) ἧ W ἧς: ἧ NS ὁ ante ἄρτος add Φ 9 ἐκπορεύῃ Φ 11 ἑαυτὸν Φ δίδως Ψv 12 τρυφὴν MK 13 ἡδυσμάτων ΨΖ: ἐδεσμάτων Φ (cf ad 54, 9) 16 ἡ ante διαφορά coll Ψv 19 μαγγανείας ΨΖ: ἐπιστήμης Φ (cf test) 20 ἡ φύσις ἐποίησεν Φ 21 χλιδαῖς ΦΖ: ἐπινοίαις Ψv τῆς om v 23 ὁ om Φ

σπουδαῖς, καὶ ἀτελεσφόρητοι μένουσι, πρὸς ταῦτα τῆς ψυχῆς ἑαυτὴν εἰς τὸ διηνεκὲς ἀσχολούσης.

1172 M. Τάχα μοι τοιοῦτόν τι δοκεῖ καὶ ὁ Μωϋσῆς δι᾽αἰνιγμάτων φιλοσοφεῖν, τῆς κατὰ τὴν γεῦσιν ἡδονῆς σύμβουλον τὸν ὄφιν παραστήσας τῇ Εὔᾳ. φασὶ γὰρ τὸ θηρίον τοῦτο, τὸν ὄφιν, εἰ τὴν κεφαλὴν ἐπαγάγοι τῇ ἁρμονίᾳ εἰς ἣν παραδύεται, μὴ ἂν ἐκ τοῦ οὐραίου ῥᾳδίως παρὰ τῶν ἀντισπώντων ἀνελκυσθῆναι τῆς ῥαχίας, φυσικῶς τῆς φολίδος εἰς τὸ ἔμπαλιν πρὸς τὴν τῶν ἐφελκομένων βίαν ἀντιβαινούσης· καὶ ᾧ κατὰ τὸ ἔμπροσθεν ἀκώλυτός ἐστιν ἡ διάδυσις, τῷ λείῳ τῆς φολίδος ὀλισθαινούσης, τούτου ἀμήχανος ἡ ἐκ τῶν κατόπιν ἀνάλυσις, ταῖς τῶν λεπίδων προσβολαῖς ἀντισπωμένη· δεικνύντος, οἶμαι, τοῦ λόγου ὅτι τὴν ἡδονὴν εἰσιοῦσαν καὶ παραδυομένην τῇ τῆς ψυχῆς ῥαχίᾳ φυλάσσεσθαι χρὴ καὶ ἀποφράσσειν ὡς ἔνι μάλιστα τὰς ἁρμονίας τοῦ βίου. οὕτω γὰρ ἂν καθαρὰ φυλαχθείη τῆς τῶν θηρίων ἐπιμιξίας ἡ ἀνθρωπίνη ζωή. εἰ δέ τινα πάροδον καθ᾽ ἡμῶν λάβοι, διαλυθείσης ἐν ἡμῖν τῆς ἐναρμονίου ζωῆς, ἐμφωλεύσει διὰ τούτων ὁ τῆς ἡδονῆς ὄφις τοῖς τῆς διανοίας χωρήμασιν, δυσέκβλητος διὰ τῶν φολίδων γενόμενος. φολίδας δὲ ἀκούων τὰς πολυτρόπους τῶν ἡδονῶν ἀφορμὰς διὰ τοῦ αἰνίγματος νόησον. ἓν γὰρ θηρίον τῷ γενικῷ λόγῳ τὸ καθ᾽ ἡδονήν ἐστι πάθος· αἱ δὲ ποικίλαι καὶ πολύτροποι τῶν ἡδονῶν ἰδέαι αἱ διὰ τῶν αἰσθήσεων ἐμμιχθεῖσαι τῇ ἀνθρωπίνῃ ζωῇ, αὗταί εἰσιν αἱ περὶ τὸν ὄφιν φολίδες, τῇ πολυποικιλίᾳ τῶν παθημάτων διεστιγμέναι. εἰ οὖν φεύγεις τὴν τοῦ θηρίου συνοίκησιν φύλαξαι τὴν κεφαλήν, τουτέστιν, τὴν πρώτην τοῦ κακοῦ προσβολήν· εἰς

3-5 Gen 3, 1 sqq 3 sqq cf In Eccles V 348, 15-350, 10 20-25 Clem Alex Paed III, 11

3 δοκεῖ post μοι coll Ψv 6 ὑπαγάγοι Ψ ἀπαγάγη v παραδύηται Φ 7 ἂν ἐκ: ἄνευ OR 8 ῥαχίας ΨZ: τραχείας Φ (cf ad 14; vide Praef I B 3) τῆς alt om Φ 9 ᾧ: οὐ O οὗ RKv 11 τούτω Φ 12 προβολίων λεπίσιν Φ 14 ῥαχίᾳ: ἁρμονία ΦZ 19 δυσέκκλητος v 20 γινόμενος Ψv 22 -δονήν ἐστι—55, 11 ἐν ἱδρῶτι uno fol deperd desunt O 23 αἱ om Φ 25 ποικιλίᾳ Ψv διεστιγμέναι: κατάστικτοι Ψv

τοῦτο γὰρ φέρει τῆς ἐντολῆς τοῦ κυρίου τὸ αἴνιγμα, Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν· μὴ δῷς πάροδον τῷ ἑρπυστῇ πρὸς τὸ ἐνδότερον εἰσέρποντι καὶ ἀπὸ τῆς πρώτης ἀρχῆς ὅλον ἑαυτοῦ τὸν ὁλκὸν συνεισφέροντι. μεῖνον ἐπὶ τῆς χρείας· ὅρος ἔστω σοι τῆς τοῦ ζῆν φροντίδος ἡ διὰ τῶν ἐπιτυχόντων τοῦ ἐνδέοντος πλήρωσις. εἰ δὲ καὶ σοὶ ὁ τῆς Εὔας σύμβουλος διαλέγοιτο περὶ τοῦ κατὰ τὴν ὄψιν καλοῦ καὶ τὴν γεῦσιν ἡδέος, καὶ ζητοίης ἐπὶ τῷ ἄρτῳ τὸ ὄψον τὸ τοιόνδε καὶ τὸ διὰ τῶν τοιῶνδε ἡδυσμάτων ὀψοποιούμενον, εἶτα διὰ τούτων ἔξω τῶν ἀναγκαίων ὅρων τὴν ἐπιθυμίαν ἄγοις, τότε ὄψει τὸν ἑρπυστὴν κατὰ τὸ λεληθὸς πρὸς πλεονεξίαν ἀκολούθως μεθέρποντα. ἀπὸ γὰρ τῆς ἀναγκαίας τροφῆς ἐπὶ τὴν ὀψοφαγίαν ἕρψας, πρὸς τὸ ἐν ὀφθαλμοῖς ἡδὺ μεταβαίνει, σκεύη λαμπρὰ ζητῶν καὶ ὑπηρέτας ἁβρούς, καὶ κλίνας ἀργυρᾶς, στρωμνὰς μαλακάς, καλύμματα διαφανῆ καὶ χρυσόπαστα, θρόνους, τρίποδας, πλυνούς, κρατῆρας, ῥυτά, ψυκτῆρας, οἰνοχόας, χέρνιβα, λυχνίας, θυμιατήρια καὶ τὰ τοιαῦτα ἐπιζητῶν. διὰ τούτων γὰρ ἡ ἐπιθυμία τῆς πλεονεξίας εἰσέρχεται. ἵνα γὰρ ἡ πρὸς τὰ τοιαῦτα μὴ λείποι παρασκευή, προσόδων χρεία δι' ὧν συμπορισθήσεται τὰ ζητούμενα. οὐκοῦν κλαῦσαι χρὴ τὸν δεῖνα καὶ οἰμῶξαι τὸν σύνοικον καὶ πολλοὺς ἐλεεινοὺς γενέσθαι τῶν οἰκείων ἐκπίπτοντας, ἵνα διὰ τῶν δακρύων ἐκείνων ἡ περὶ τὴν τράπεζαν τούτῳ τραγῳδία λαμπρύνοιτο. ἐπειδὰν δὲ καὶ τούτοις ὁ ὄφις ἑαυτὸν ἐπειλίξῃ καὶ πλήσῃ τὴν

1-2 Gen 3, 15

2 κεφαλήν ΦZ: πτέρναν Ψv   πτέρναν ΦZ: κεφαλήν Ψv   3 ἑρπυστῇ R²: ἑρπηστῇ V   ἑρπιστῇ WM (ἐ- M)Ψ   4-5 εἰσφέροντι ΦZ   7 εὔας: εὐσεβείας Z   9 τῶν τοιώνδε ΨZ: τώνδε τῶν Φ   ἡδυσμάτων ΨZ: ἐδεσμάτων Φ (cf ad 52, 13)   11 ἑρπυστὴν R²: ἑρπιστὴν Φ(ἐ- VM)Ψ   14 μεταβήσεται Ψv   15 καὶ ante καλύμματα add Φ   17 ῥυτά ΨZ: ῥύτρα Φ   ψυκτῆρας om Z   οἰνοχόους K   18 καὶ—ἐπιζητῶν om ΦZ (sed cf ad 19)   τοῦτο v   19 ἔρχεται Φ (fort Z) post quod καὶ τὰ τοιαῦτα ἐπιζητεῖ add ΦZ   τὰ om VM   20 λίποι Ψv   21 χρὴ κλαῦσαι Φ   22 τὸν: τὴν k   23 οἰκείων: ἰδίων Ψv   24 τούτου ΦZ   25 ἑαυτὸν ΨZ: om Φ   ἐπειλίξῃ: ἐπιλείξῃ VM ἐπιλήξει W ἐπιλίξῃ K ἐπιλλίζῃ v

1173 M. γαστέρα τῶν κατὰ γνώμην, ἀκολούθως μετὰ τὰς πλησμονὰς ἐπὶ τὴν ἀκόλαστον λύσσαν ἰλυσπώμενος κατασύρεται· τοῦτο δέ ἐστι τὸ ἔσχατον τῶν ἀνθρωπίνων κακῶν. ὡς ἂν οὖν μηδὲν γένοιτο τούτων, τῇ εὐπορίᾳ τοῦ ἄρτου τὴν ζωὴν περιόριζε, τὸ ὄψον ζητῶν τὸ παρ' αὐτῆς ὀψοποιούμενόν σοι τῆς φύσεως. τοῦτο δὲ τί ἐστιν; μάλιστα μὲν ἡ ἀγαθὴ συνείδησις, τῇ δικαίᾳ μεταλήψει τὸν ἄρτον ἡδύνουσα. εἰ δὲ καὶ τὴν κατὰ τὸν λαιμὸν αἴσθησιν ἥδεσθαι θέλοις, ὄψον σοι γενέσθω ἡ ἔνδεια καὶ τὸ μὴ ἐπιβάλλειν κόρον τῷ κόρῳ μηδὲ ἀπαμβλύνειν τῇ κραιπάλῃ τὴν ὄρεξιν. ἀλλὰ προηγείσθωσάν σοι τῆς τροφῆς τῶν ἐντολῶν οἱ ἱδρῶτες· Ἐν ἱδρῶτι καὶ πόνῳ φάγῃ τὸν ἄρτον σου. ὁρᾷς τὴν πρώτην ὀψοποιΐαν τοῦ λόγου.

Ἀρκεῖ σοι τὸ μέχρι τῆς χρείας ταύτης ἀσχολεῖν τὴν διάνοιαν· μᾶλλον δὲ μηδὲ μέχρι τούτου τὴν ψυχὴν ταῖς περὶ τοῦ ἄρτου μερίμναις ἐνδήσῃς. ἀλλ' εἰπὲ τῷ τὸν ἄρτον ἐκ γῆς ἐξάγοντι, εἰπὲ τῷ τοὺς κόρακας τρέφοντι, τῷ διδόντι τροφὴν πάσῃ σαρκί, τῷ ἀνοίγοντι τὴν χεῖρα καὶ πληροῦντι πᾶν ζῷον εὐδοκίας ὅτι Παρὰ σοῦ μοι ἡ ζωή· παρὰ σοῦ γενέσθω καὶ ἡ πρὸς τὸ ζῆν ἀφορμή· σὺ δὸς τὸν ἄρτον, τουτέστιν, ἐκ δικαίων πόνων τὴν τροφὴν σχοίην. εἰ γὰρ ὁ θεὸς δικαιοσύνη ἐστίν, οὐκ ἔχει παρὰ θεοῦ τὸν ἄρτον ὁ ἐκ πλεονεξίας τὴν τροφὴν ἔχων. αὐτὸς κύριος εἶ τῆς εὐχῆς. εἰ μὴ ἐξ ἀλλοτρίων ἡ εὐπορία, εἰ μὴ ἐκ δακρύων ἡ πρόσοδος, εἰ οὐδεὶς ἐπὶ τῷ σῷ κόρῳ ἐπείνασεν, εἰ οὐδεὶς ἐπὶ τῇ πλησμονῇ σου ἐστέναξεν,

6-7 cf I Tim 4, 2-3 11-12 Gen 3, 19 16-17 Ps 103, 14
17 Luc 12, 24; cf Ps 146, 9 17-18 Ps 135, 25; cf 144, 15
18-19 Ps 144, 16

1 τὴν γνώμην Φ 5 ζωὴν: εὐχὴν ΦZ (cf 54, 5) περιόριζε τὸ secundum Z (ut vid) correxi: περιώρισεν Φ περιορίζεται Ψv περιόρισαι AE περιώριζε N 6 τί ΦZ: om Ψv 7 δικαίᾳ: ἀγαθῇ ΦZ (ut vid) 9 γινέσθω Ψ ἐπιβαλεῖν Ψv μηδὲ: καὶ μὴ ΦZ 10 ἐπαμβλύνειν Φ ἀπαμβλῦναι v 11 τῆς τροφῆς ΨZ: om Φ 12 φαγῇ MΨ σου om Φ 15 μηδὲ ΦZ: om Ψv 17 διδοῦντι Φ 18 ἐμπιπλῶντι Φ (ἐμπιμπ- V) 20 τὸ ζῆν: τὴν ζωὴν ΨZv 21 ἡ δικαιοσύνη Ψv 22 τοῦ θεοῦ Φ

θεοῦ ἄρτος ἐστὶν ὁ τοιοῦτος, δικαιοσύνης ὁ καρπός, εἰρήνης ὁ στάχυς, ἄμικτος καὶ ἀμόλυντος τῶν τοῦ ζιζανίου σπερμάτων. εἰ δὲ γεωργῶν τὰ ἀλλότρια καὶ ἐν ὀφθαλμοῖς ἔχων τὴν ἀδικίαν καὶ γραμματείοις κρατύνας τὴν ἄδικον κτῆσιν ἔπειτα τῷ θεῷ λέγεις, Τὸν ἄρτον δός, ἄλλος ὁ ἀκούων τῆς φωνῆς σου ταύτης ἐστίν, οὐχ ὁ θεός. τὸν γὰρ ἐξ ἀδικίας καρπὸν ἡ ἀντικειμένη καρποφορεῖ φύσις· ὁ σπουδάζων τὴν δικαιοσύνην θεόθεν τὸν ἄρτον δέχεται, ὁ δὲ τὴν ἀδικίαν γεωργῶν παρὰ τοῦ εὑρετοῦ τῆς ἀδικίας σιτίζεται. πρὸς οὖν τὴν συνείδησιν τὴν ἑαυτοῦ βλέπων, οὕτω πρόσαγε τὴν περὶ τοῦ ἄρτου εὐχὴν τῷ θεῷ, εἰδὼς ὅτι οὐκ ἔστι κοινωνία Χριστῷ πρὸς Βελίαρ. κἂν δωροφορῇς ἐξ ἀδικίας, ἄλλαγμα κυνὸς καὶ μίσθωμα πόρνης τὸ δῶρόν ἐστιν· κἂν λαμπρύνῃς τῇ φιλοτιμίᾳ τὰς ἐπιδόσεις, ἀκούσῃ τοῦ προφήτου βδελυσσομένου τὴν ἀπὸ τῶν τοιούτων συνεισφοράν· Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· θυμίαμα, φησί, βδέλυγμά μοί ἐστιν. ἑτέρωθι τὸν θύοντα μόσχον ἀντὶ τοῦ ἀναιροῦντος κύνα λελόγισται. ἐὰν οὖν παρὰ κυρίου τὸν ἄρτον ἔχῃς, τουτέστιν, ἐκ δικαίων πόνων, ἔξεστί σοι καὶ ἀπάρχεσθαι αὐτῷ ἀπὸ τῶν καρπῶν τῆς δικαιοσύνης.

1176 M. Καλὴ δὲ καὶ ἡ προσθήκη τοῦ σήμερον. Τὸν ἄρτον γάρ, φησί, τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. ἄλλη φιλοσοφία οὗτος ὁ λόγος, ὡς ἂν μάθοις δι᾽ ὧν λέγοις ὅτι ἐφήμερός

11-12 cf II Cor 6, 15 12-13 cf Deut 23, 19 18 Is 1, 11 et 13 18-19 Is 66, 3

1 ἄρτος μάλιστα ὁ τοιοῦτός ἐστι Ψv ὁ ante καρπός om Ψv 2 ἄσταχυς Ψv 5 κτίσιν OR ἔπειτα ΨZ: om Φ λέγοις Ψv δὸς τὸν ἄρτον Ψv 6 σου om ΦZ 7 τὴν om Φ 9 εὑρετοῦ WMΨ(unam litt ut vid ante ρ eras O)Z: εὐεργέτου Vvk (cf Beat 114, 8; 148, 12; Or cat 101, 7) 10 σαυτοῦ ΦZ οὕτω om Zv πάραγε O προσάγει K περὶ ΦZ: om Ψv 11 εὐχὴν: αἴτησιν Ψv 12 χριστοῦ Φ βελίαρ ΦK: βελίαν OR βελιάλ v 16 ὑμῶν om v 17 τράγων καὶ ταύρων Φ contra Z 18 μοί ἐστιν ΨZ: om Φ 19 ἀντὶ τοῦ ἀναιροῦντος: ὡς τὸν ἀποκτένοντα (sic) ΦZ (ut vid) 20 τοῦ κυρίου Φ 21 ἀπέρχεσθαι v τῶν om Φ 22 τῆς om Φ 25 ἐστίν ante ὡς add Ψv

ἐστιν ἡ ἀνθρωπίνη ζωή. τὸ παρὸν ἴδιον ἑκάστου μόνον· ἡ δὲ τοῦ μέλλοντος ἐλπὶς ἐν ἀδήλῳ μένει· οὐκ οἴδαμεν γὰρ τί τέξεται ἡ ἐπιοῦσα. τί προταλαιπωροῦμεν ὑπὲρ τῶν ἀδήλων; τί κακοπαθοῦμεν ταῖς ὑπὲρ τῶν μελλόντων φροντίσιν; Ἀρκετόν, φησί, τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, κακίαν τὴν κακοπάθειαν λέγων. τί μεριμνῶμεν περὶ τῆς αὔριον; διὰ τοῦτο δι᾽ ὧν τὸ σήμερον κελεύει ἀπαγορεύει σοι τὴν περὶ τοῦ αὔριον φροντίδα, μονονουχὶ ταῦτά σοι διὰ τοῦ ῥήματος λέγων ὅτι Ὁ τὴν ἡμέραν σοι διδοὺς καὶ τὰ εἰς τὴν ἡμέραν σοι δίδωσιν. τίς ἀνατέλλει τὸν ἥλιον; τίς ἐξαφανίζει τῆς νυκτὸς τὸ σκότος; τίς σοι δείκνυσι τοῦ φωτὸς τὴν ἀκτῖνα; τίς περιάγει τὸν οὐρανὸν ὥστε ὑπὲρ γῆς τὸν φωστῆρα γενέσθαι; ὁ ταῦτά σοι καὶ τὰ τηλικαῦτα διδοὺς τῆς σῆς ἄρα χρῄζει συνεργίας πρὸς τὸ πληρῶσαι τῇ σαρκί σου τὸ ἐνδέον τῆς χρείας; ποίαν εἰσφέρεται σπουδὴν ἡ τῶν ἀλόγων φύσις πρὸς τὴν ἰδίαν ζωήν; ποῖαι τῶν κοράκων ἄρουραι; ποῖαι τῶν ἀετῶν εἰσιν αἱ ἀποθῆκαι; οὐ μία πᾶσίν ἐστιν ἡ τοῦ ζῆν χορηγία τὸ θεῖον βούλημα, ᾧ περικρατεῖται τὰ πάντα; εἶτα βοῦς μὲν ἢ ὄνος ἢ ἄλλο τι τῶν ἀλόγων αὐτοδίδακτον τὴν ἐκ φύσεως ἔχει φιλοσοφίαν, καὶ τὸ παρὸν εὖ διατίθεται, τῶν δὲ εἰς τὸ ἑξῆς αὐτῷ φροντὶς οὐδεμία· ἡμεῖς δὲ συμβούλων δεόμεθα πρὸς τὸ συνιέναι τὸ ἐπίκηρον τοῦτο καὶ ἐφήμερον τῆς κατὰ σάρκα ζωῆς; οὐ παιδευόμεθα τοῖς ἀλλοτρίοις συμπτώμασιν; οὐ πρὸς τὸν ἴδιον σωφρονιζόμεθα βίον; τί ἀπώνατο τῆς πολλῆς παρασκευῆς ἐκεῖνος ὁ πλούσιος ὁ ταῖς ἀνυποστάτοις ἐλπίσιν ἐμματαιάζων, καθαιρῶν, οἰκοδομῶν, συνάγων, τρυφῶν, μακρὰς ἐτῶν περιόδους ἐν ματαιότητι τῶν ἐλπίδων ταῖς ἀποθήκαις συναποκλείων; οὐχὶ μία νὺξ πᾶσαν ἐκείνην τὴν ὀνειροπολουμένην ἐλπίδα

2-3 Prov 27, 1   5 Matth 6, 34   25 sqq Luc 12, 16-21

1 ἐστιν om Φ   ἑκάστου ΦΖ: ἑκάστῳ Ψv (cf 58, 3)   3 προσταλαιπωροῦμεν v   3-4 ὑπὲρ τῶν ἀδήλων τί κακοπαθοῦμεν ταῖς om v   5 ἀρκεῖ v   6 λέγων: εἶπεν Φ   7 φησί post τοῦτο add Φ post ὧν add Z   κελεύει: κελεύων Φ om Z   περὶ: ὑπὲρ Φ   9 ἡμέραν alt ΨΖ: αὔριον Φ   11 δείκνυσι ΨΖ: δίδωσι Φ   13 ἄρα om ΦΖ   ἄρα Rv   17 εἰσιν αἱ om ΦΖ   19 βοῦς: ὗς VMZ   οἶς W   28 τῇ ματαιότητι Φ

διήλεγξεν ὡς μάταιόν τι ἐνύπνιον ἐπὶ ματαίῳ συμπεπλασμένον; ἡ κατὰ τὸ σῶμα ζωὴ τοῦ ἐνεστῶτός ἐστι μόνου· ἡ δὲ δι' ἐλπίδος ἀποκειμένη τῆς ψυχῆς ἐστιν ἰδία. ἀλλ' ἡ τῶν ἀνθρώπων διάνοια διαμαρτάνει περὶ τὴν ἑκατέρου χρῆσιν, τὴν μὲν σωματικὴν ζωὴν ταῖς ἐλπίσι παρατείνουσα, τὴν δὲ τῆς ψυχῆς πρὸς τὴν τῶν παρόντων ἀπόλαυσιν ἐφελκομένη. διὰ τοῦτο κατ' ἀνάγκην τῆς οὔσης τε καὶ ὑφεστώσης ἐλπίδος ἡ ψυχὴ περὶ τὸ φαινόμενον ἀσχολουμένη ἀλλοτριοῦται· τοῖς δὲ ἀστάτοις διὰ τῶν ἐλπίδων ἐπερειδομένη οὔτε τούτου περικρατὴς γίνεται καὶ ἐκεῖνο οὐκ ἔχει. διδαχθῶμεν τοίνυν διὰ τῆς παρούσης συμβουλῆς τί μὲν σήμερον αἰτεῖν χρή, τί δὲ εἰς ὕστερον. ὁ ἄρτος τῆς σημερινῆς χρείας ἐστίν, ἡ βασιλεία τῆς ἐλπιζομένης μακαριότητος. ἄρτον δὲ εἰπὼν πᾶσαν τὴν σωματικὴν ἐμπεριλαμβάνει χρείαν. ἐὰν οὖν ταῦτα αἰτῶμεν δῆλον ἔστω τῇ διανοίᾳ τοῦ προσευχομένου ὅτι περὶ τὸ ἐφήμερόν ἐστιν ἡ ἀσχολία· ἐὰν δέ τι τῶν τῆς ψυχῆς ἀγαθῶν, ὅτι πρὸς τὸ διηνεκές τε καὶ ἀτελεύτητον ἡ αἴτησις βλέπει, πρὸς ὃ μάλιστα κελεύει τοὺς εὐχομένους ὁρᾶν, ὡς τῇ μείζονι καὶ τῆς πρώτης συγκατορθουμένης χρείας. Αἰτεῖτε, φησί,
1177 M. τὴν βασιλείαν καὶ τὴν δικαιοσύνην, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Ε′

Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

19 Matth 6, 33; cf Luc 12, 31; 11, 9; Matth 7, 7

4 διάνοια ΦΖ: ἄνοια Ψv (cf 15) χρῆσιν ΦΟΖ: κρίσιν RK 8 περὶ ΨΖ: διὰ τὴν περὶ Φ ἀσχολουμένη ΨΖ: ἀσχολίαν Φ (cf 16) 14 περιλαμβάνει Ψv οὖν ΦΖ: om Ψv 15 ἔσται Ψv 16 τι om ΦΖ ψυχῆς ΨΖ: προσευχῆς Φ 18 προσευχομένους Φ τῇ: τῷ Ψv 19 πρώτης ΨΖ: ἥττονος Φ 22 τῶν αἰώνων om Z ἐτελεώθη λόγος δ' post ἀμήν add ΖΣ 23 λόγος ε': τοῦ αὐτοῦ εἰς τὴν προσευχὴν (εἰς τὴν προσευχὴν om W) ὁμιλία ε' ΦΑ om Ψ (sed λόγος λη' in marg scr K)E ὁμιλία ε' N λόγος ε' περὶ τοῦ ΖΣ 24-25 ἄφες—ὀφειλέταις ἡμῶν (καὶ ante ἄφες add E ἡμῶν

Ἦλθε προϊὼν ὁ λόγος ἐπ' αὐτὸ τῆς ἀρετῆς τὸ ἀκρότατον· ὑπογράφει γὰρ διὰ τῶν τῆς προσευχῆς ῥημάτων οἷον εἶναι βούλεται τὸν τῷ θεῷ προσερχόμενον τὸν οὐκέτι σχεδὸν ἐν τοῖς τῆς ἀνθρωπίνης φύσεως ὅροις δεικνύμενον ἀλλ' αὐτῷ τῷ θεῷ διὰ τῆς ἀρετῆς ὁμοιούμενον, ὥστε δοκεῖν ἄλλον εἶναι ἐκεῖνον ἐν τῷ ταῦτα ποιεῖν ἃ τοῦ θεοῦ μόνου ἐστὶ ποιεῖν. ἡ γὰρ τῶν ὀφλημάτων ἄφεσις ἴδιόν ἐστι τοῦ θεοῦ καὶ ἐξαίρετον· εἴρηται γὰρ ὅτι Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ θεός. εἰ τοίνυν τις ἐν τῷ ἰδίῳ βίῳ μιμήσαιτο τῆς θείας φύσεως τὰ γνωρίσματα, ἐκεῖνο γίνεται τρόπον τινὰ οὗ τὴν μίμησιν ἐναργῶς ἐπεδείξατο. τί οὖν διδάσκει ὁ λόγος; πρῶτον διὰ τῶν ἔργων τὴν παρρησίαν λαβεῖν καὶ οὕτως ἀμνηστίαν ὑπὲρ τῶν ποτε πλημμεληθέντων αἰτεῖν.

Ταῦτα γὰρ ἄντικρυς ἡμῖν διαλέγεται τῇ παρούσῃ φωνῇ, ὅτι Ὁ τῷ εὐεργέτῃ προσιὼν εὐεργέτης ἔστω, ὁ τῷ ἀγαθῷ ἀγαθός, ὁ τῷ δικαίῳ δίκαιος, ἀνεξίκακός τε τῷ ἀνεξικάκῳ, καὶ τῷ φιλανθρώπῳ φιλάνθρωπος, καὶ τὰ ἄλλα πάντα ὡσαύτως, τῷ χρηστῷ τε καὶ ἐπιεικεῖ καὶ μεταδοτικῷ τῶν ἀγαθῶν καὶ παντὶ τὸν ἔλεον νέμοντι· καὶ εἴ τι περὶ τὸ θεῖον ὁρᾶται, πρὸς ἕκαστον διὰ τῆς προαιρέσεως ὁμοιούμενος, οὕτως ἑαυτῷ τὴν τῆς προσευχῆς παρρησίαν περιποιείσθω.

post ὀφειλήματα om N   καθὼς: ὡς E   ἀφίημεν A) ΨΑΝΕΖΣ: om Φ   καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ post ὀφειλέταις ἡμῶν add v

1 αὐτὸ ΨΖ: αὐτῆς Φ   3 προσερχόμενον ΨΖ: προσευχόμενον Φ (cf ad 60, 23)   τὸν alt om Φ   4 τοῖς τῆς om v   6 ἐκεῖνον εἶναι Ψv   11 ἐναργῶς: δι' ἀκριβοῦς ὁμοιότητος ΦΖ   ἐνεδείξατο v   12 διὰ—οὕτως: ἑαυτοῖς συγγνῶναι τῇ (τὴν ἐκ ΖΣ) τῶν βεβιωμένων παρρησίᾳ (-αν ΖΣ) τὴν πρὸς τὸν θεὸν ὁμοιότητα (τὴν—ὁμοιότητα om ΖΣ) καὶ τότε θαρσεῖν καὶ (καὶ om ΕΖΣk) πατέρα ἑαυτῶν τὸν θεὸν (τὸν θεὸν ἑαυτῶν Ε) λέγειν καὶ ΦΕΖΣk   13 ὑπέρ: διὰ v   πλημμελημάτων Ψv   αἰτήσασθαι Ψv   ὡς οὐκ ἐν τῷ αἰτοῦντι ὄντος τοῦ τυχεῖν ὧν ἐφίεται ἀλλ' ἐν τῷ διὰ τῶν ἔργων αὐτῷ (ἑαυτῷ Ek) χαριζομένῳ (-όμενον accent et o alt e corr W -νων v alt e corr add M) τῆς αἰτήσεως τὴν παρρησίαν post αἰτεῖν add ΦΕΖΣk   15 ὅτι om ΦΖ   16 ὁ post τε add Φ   21 περιποιείτω Φ

ὡς οὖν οὐκ ἔστιν οὔτε πονηρὸν ἀγαθῷ προσοικειωθῆναι οὔτε τὸν ἐν ἀκαθάρτοις λογισμοῖς καλινδούμενον πρὸς τὸν καθαρὸν καὶ ἀκήρατον κοινωνίαν ἔχειν, οὕτω χωρίζει τῆς φιλανθρωπίας τοῦ θεοῦ ἡ τοῦ προσιόντος ἀπήνεια ἑαυτήν. ὁ τοίνυν ἐν πικρίᾳ κατέχων ὑπὲρ τῶν ὀφλημάτων τὸν ὑποχείριον διὰ τοῦ ἰδίου τρόπου τῆς θείας φιλανθρωπίας ἑαυτὸν ἀπεσχοίνισεν. τίς γὰρ κοινωνία φιλανθρωπίᾳ τε καὶ ὠμότητι, καὶ εὐεργεσίᾳ πρὸς ἀγριότητα, καὶ τὰ λοιπὰ ὅσα ἐκ τοῦ ἐναντίου τῇ πρὸς τὸ κακὸν ἀντιθέσει νοεῖται, ὧν ἄμικτος ἡ ἐναντιότης, ἐφ' ὧν ὁ τῷ ἑνὶ προκατειλημμένος τοῦ ἐναντίου πάντως ἀφώρισται; ὡς γὰρ ὁ ἐν τῷ θανάτῳ γενόμενος ἐν τῇ ζωῇ οὐκ ἔστιν καὶ ὁ τῆς ζωῆς μετέχων τοῦ θανάτου κεχώρισται, οὕτως ἀνάγκη πᾶσα τὸν τῇ φιλανθρωπίᾳ τοῦ θεοῦ προσιόντα πάσης ἀπηνείας ἐκτὸς γεγενῆσθαι. ὁ δὲ ἐκτὸς πάντων τῶν ἐν κακίᾳ νοουμένων γενόμενος θεὸς τρόπον τινὰ διὰ τῆς τοιαύτης ἕξεως γίνεται, ἐκεῖνο κατορθώσας ἐν ἑαυτῷ ὃ περὶ τὴν θείαν φύσιν ὁ λόγος βλέπει. ὁρᾷς εἰς ὅσον μέγεθος ὑψοῖ τοὺς ἀκούοντας διὰ τῶν τῆς προσευχῆς ῥημάτων ὁ κύριος, μεθιστῶν τρόπον τινὰ τὴν ἀνθρωπίνην
1180 M. φύσιν πρὸς τὸ θειότερον καὶ θεοὺς γενέσθαι τοὺς τῷ θεῷ προσιόντας νομοθετῶν; Τί δουλοπρεπῶς, φησίν, ἐν φόβῳ κατεπτηχὼς καὶ τῷ συνειδότι τῷ ἐν σεαυτῷ μαστιζόμενος προσέρχῃ θεῷ; τί ἀποκλείεις σεαυτῷ τὴν παρρησίαν τὴν τῇ ἐλευθερίᾳ τῆς ψυχῆς ἐνυπάρχουσαν τὴν ἐξ ἀρχῆς συνουσιωμένην τῇ φύσει; τί κολακεύεις ἐν ῥήμασι τὸν ἀθώπευτον; τί προσάγεις τοὺς θεραπευτικούς τε καὶ θῶπας λόγους τῷ

26 cf Plat Theaet 175E; Phil Iud De Iosepho 14, 73 (θῶπας λ.)

2 λογισμοῖς καλινδούμενον: μολύσμασι ῥυπαινόμενον ΦZ (cf 35, 14-15) κυλινδούμενον v 4 ἡ ante ἀπήνεια coll Φ om v ἑαυτήν om ΦZ 5 πικρίᾳ κατέχων: ἀπηνείᾳ κατάγχων ΦZ (cf 69, 15) ὀφειλημάτων v 6 θείας: τοῦ θεοῦ Φ 7 ἀπεσχοίνισεν: διετείχισεν Φ 8 εὐεργεσίᾳ ΦZ: ἀγαπητικῇ διαθέσει Ψv 10 κατειλημμένος ΨZ (ut vid)v 12 τῇ om Ψv 14 γενέσθαι Ψv 17 ἐν om Ψv 19 μεθιστῶν: μεταβαλὼν Ψv 20 γίνεσθαι Ψv 22 ἐν σεαυτῷ Φ (sed ἐν sscr et ω ex ου ut vid corr W): ἑαυτοῦ Ψv 23 προσέρχῃ ΨZ: προσεύχῃ Φ (cf ad 59, 3) τῷ ante θεῷ add Φ 24 -πάρχουσαν τὴν—63, 16 λογισμῶν ἔστιν l- uno ut vid fol deperd desunt V 26 τε om Φ θῶπας: θωπευτικοὺς Ψv (cf test)

πρὸς τὰ ἔργα βλέποντι; ἔξεστί σοι πᾶν ὅ τι πέρ ἐστιν ἐκ θεοῦ χρηστὸν κατ' ἐξουσίαν ἔχειν ἐλευθεριάζοντι τῷ φρονήματι. αὐτὸς γενοῦ σεαυτῷ δικαστής· δὸς σεαυτῷ τὴν σῴζουσαν ψῆφον. ἀφεθῆναί σοι ζητεῖς παρὰ τοῦ θεοῦ τὰ ὀφλήματα; σὺ ἄφες, καὶ ὁ θεὸς ἐπεψήφισεν. ἡ γὰρ τοῦ ὁμοφύλου κρίσις, ἧς σὺ κύριος εἶ, σὴ γίνεται ψῆφος, οἵα δ' ἂν ᾖ· ἃ γὰρ ἂν ἐπὶ σεαυτοῦ γνῷς, ταῦτά σοι διὰ τῆς θείας κρίσεως ἐπεκυρώθη.

Ἀλλὰ πῶς ἄν τις πρὸς ἀξίαν τὸ μεγαλοφυὲς τῆς θείας φωνῆς ἐκκαλύψειεν; ὑπερβαίνει τὴν ἐκ τῶν λόγων ἑρμηνείαν τὸ νόημα· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφείλουσιν ἡμῖν. ὃ γὰρ ἐπέρχεταί μοι περὶ τούτου νοεῖν τολμηρὸν μέν ἐστι καὶ τῷ νῷ λαβεῖν, τολμηρότερον δὲ καὶ λόγῳ διακαλύψαι τὸ νόημα. τί γάρ ἐστι τὸ λεγόμενον; ὥσπερ ὁ θεὸς πρόκειται τοῖς τὸ ἀγαθὸν κατορθοῦσιν εἰς μίμησιν, καθὼς εἶπεν ὁ Παῦλος, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ, οὕτως τὸ ἔμπαλιν τὴν σὴν διάθεσιν ὑπόδειγμα τῷ θεῷ πρὸς τὸ ἀγαθὸν γίνεσθαι βούλεται· καὶ ἀντιμεθίσταται τρόπον τινὰ ἡ τάξις ὥστε τολμῆσαι καί, καθάπερ ἐν ἡμῖν τὸ ἀγαθὸν ἐπιτελεῖται τῇ πρὸς τὸ θεῖον μιμήσει, οὕτως ἐλπίσαι μιμεῖσθαι τὸν θεὸν τὰ ἡμέτερα ὅταν τι τῶν ἀγαθῶν κατορθώσωμεν, ἵνα εἴπῃς καὶ σὺ τῷ θεῷ ὅτι Ὃ ἐγὼ πεποίηκα καὶ σὺ ποίησον· μίμησαι τὸν δοῦλον ὁ κύριος, τὸν πτωχὸν καὶ πένητα ὁ τοῦ παντὸς βασιλεύων· ἀφῆκα τὴν ὀφειλήν, μηδὲ σὺ ἀπαιτήσῃς· ᾐδέσθην τὸν ἱκέτην,

16 I Cor 11, 1; cf 4, 16

3 σεαυτῷ pr ΨZ: σαυτοῦ Φ (cf Beat 133, 26) 5 ἐπεψήφισεν ΦZ: ἐψήφισεν Ψv ὑπὲρ post γὰρ add ΨZ (cf Beat 133, 27) 6 ἧς om v εἶ σή: ἴση ΨZv (cf 22-62, 9; 69, 22-25; Beat 129, 26-130, 3; 133, 23-27) 7 ἂν om Ψv 11 ὄνομα v 12 ὀφειλέταις ἡμῶν Φ 8 ΦZ: ἃ Ψv 13-14 τολμηρότερον ΦZ: τολμηρὸν Ψv τῷ ante λόγῳ add Φ ἐκκαλύψαι Φ 16 παῦλος ΦZ: ἀπόστολος Ψv 18 γενέσθαι Ψv καὶ om v 19 καί om Ψv 20 θεῖον: ἀγαθὸν Φ ἀγαθὸν τοῦ θεοῦ Z 23 ὃ om ΦZ καὶ σὺ ΦZ: om Ψv σου post δοῦλον add ΨZv 25 τὴν ὀφειλήν: τὰ ὀφειλήματα Ψv μηδὲ σὺ ἀπαιτήσῃς ᾐδέσθην τὸν ἱκέτην om v

καὶ σὺ μὴ ἀπώσῃ τὸν ἱκετεύοντα· φαιδρὸν ἀπέπεμψα τὸν ἐμὸν ὀφειλέτην, τοιοῦτος καὶ ὁ σὸς γενέσθω· μὴ ποιήσῃς τὸν σὸν χρεώστην τοῦ ἐμοῦ σκυθρωπότερον· ἴσως οἱ δύο τοῖς χρήσταις εὐχαριστείτωσαν· ἴση παρ' ἀμφοτέρων κυρωθήτω τοῖς συναλλάκταις ἡ ἄφεσις τῷ ἐμῷ καὶ τῷ σῷ. ἐμὸς ὀφειλέτης ὁ δεῖνα, σὸς δὲ ἐγώ· ἣν ἔσχον ἐπὶ τούτου γνώμην ἐγώ, αὕτη καὶ παρὰ σοὶ κρατησάτω· ἔλυσα, λῦσον· ἀφῆκα, ἄφες· πολὺν ἐπεδειξάμην ἐγὼ τῷ ὁμοφύλῳ τὸν ἔλεον· μίμησαι τὴν φιλανθρωπίαν ὁ τῇ φύσει φιλάνθρωπος. ἀλλὰ βαρύτερά μου τὰ εἰς σὲ πλημμελήματα τῶν εἰς ἐμὲ παρὰ τούτου γεγενημένων, φημὶ κἀγώ, καὶ τοῦτο λόγισαι, ὅσον ὑπερέχεις ἐν παντὶ ἀγαθῷ· δίκαιος γὰρ εἶ τῇ ὑπερβολῇ τῆς σῆς δυνάμεως ἀναλογοῦντα νέμειν τοῖς ἡμαρτηκόσι τὸν ἔλεον. ὀλίγην τὴν φιλανθρωπίαν ἐνεδειξάμην ἐγώ· οὐ γὰρ
1181 M. ἐχώρει τὸ πλέον ἡ φύσις· σὺ δὲ ὅσον ἐθέλεις οὐ κωλύει τὴν μεγαλοδωρεὰν ἡ δύναμις.

Ἀλλὰ φιλοπονώτερον τὴν προκειμένην τῆς προσευχῆς ῥῆσιν κατανοήσωμεν, εἴ πως γένοιτό τις καὶ ἡμῖν διὰ τῆς τοῦ νοήματος θεωρίας πρὸς τὸν ὑψηλὸν βίον χειραγωγία. ἐξετάσωμεν τοίνυν ποῖα μὲν ὀφειλήματά ἐστιν ἃ ὤφειλεν ἡ ἀνθρωπίνη φύσις, ποῖα δὲ πάλιν ἐκεῖνα ὧν ἡμεῖς ἐσμεν τῆς ἀφέσεως κύριοι. ἐκ γὰρ τοῦ ταῦτα γνῶναι γένοιτ' ἂν ἡμῖν τῆς ὑπερβολῆς τῶν θείων ἀγαθῶν μετρία τις κατανόησις. οὐκοῦν ἐντεῦθεν ποιησώμεθα τῶν ἀνθρωπίνων πρὸς τὸν θεὸν πλημμελημάτων τὴν ἀπαρίθμησιν. πρώτην ὤφλησεν τῷ θεῷ τιμωρίαν ὁ ἄνθρωπος ὅτι ἀπέστησεν ἑαυτὸν τοῦ ποιήσαντος

26 sqq cf Plotin IV, viii

1 καὶ σὺ μὴ: μηδὲ σὺ Ψv 3 χρεώστην: ὀφειλέτην Φ 4 χρήσταις ΦZ: ἀπαιτοῦσιν Ψv εὐχαριστήτωσαν W εὐχαριστήσωσαν M 5-6 ὁ ante ἐμὸς et ante σὸς add Ψv 7 καὶ: καὶ ἐμοὶ A ἐμοὶ Z om v 9 τοῦ δούλου σου post τὴν add Ψv om ΦZ τῇ φύσει φιλάνθρωπος ΦZ: κύριος Ψv 10-11 παρ' αὐτοῦ Φ 13 νέμειν ΦZ: ἡμῖν Ψv 14 ἔλεον ΦZ: ἔλεον δωρεῖσθαι Ψv ἐπεδειξάμην Ψ(-δεξ- R)v (cf 8) 15 ὅσον δὲ σὺ Φ θέλεις Φ 17 φιλανθρωπότερον v 18 εἴ πως: ὅπως ΦZ 20 ὀφειλήματά ΦZ: om Ψv ἃ ὤφειλεν: οἷς ὑπόχρεως ΨZv 25-26 τιμωρίαν τῷ θεῷ Φ

καὶ πρὸς τὸν ἐναντίον ἀπηυτομόλησεν, δραπέτης τοῦ κατὰ φύσιν δεσπότου καὶ ἀποστάτης γενόμενος· δεύτερον ὅτι τὴν πονηρὰν τῆς ἁμαρτίας δουλείαν ἀντὶ τῆς αὐτεξουσίου ἐλευθερίας ἠλλάξατο, καὶ προετίμησε τοῦ συνεῖναι θεῷ τὸ τυραννεῖσθαι παρὰ τῆς καταφθειρούσης δυνάμεως. ἀλλὰ καὶ τὸ μὴ πρὸς τὸ κάλλος τοῦ πεποιηκότος βλέπειν, πρὸς δὲ τὸ αἶσχος τῆς ἁμαρτίας ἐπιστρέψαι τὸ πρόσωπον, τίνος ἂν δεύτερον τῶν κακῶν κριθείη; ἥ τε τῶν θείων ἀγαθῶν ὑπεροψία καὶ ἡ τῶν τοῦ πονηροῦ δελεασμάτων προτίμησις, εἰς ποῖον ἂν μέρος τιμωρίας ταχθείη; ὅ τε τῆς εἰκόνος ἀφανισμὸς καὶ ἡ λύμη τοῦ θείου χαρακτῆρος τοῦ παρὰ τὴν πρώτην κτίσιν ἐν ἡμῖν μορφωθέντος καὶ ἡ τῆς δραχμῆς ἀπώλεια καὶ ἡ τῆς τραπέζης τοῦ πατρὸς ἀναχώρησις καὶ ἡ πρὸς τὸν δυσώδη τῶν χοίρων βίον οἰκείωσις καὶ ἡ τοῦ τιμίου πλούτου διαφθορὰ καὶ ὅσα τοιαῦτα διά τε τῆς γραφῆς καὶ διὰ τῶν λογισμῶν ἔστιν ἰδεῖν πλημμελήματα, τίς ἂν ἐξαριθμήσαιτο λόγος; ἐπειδὴ τοίνυν ἐν τοσούτοις καὶ τοιούτοις ὑπόδικόν ἐστι πρὸς τιμωρίας ἔκτισιν τῷ θεῷ τὸ ἀνθρώπινον, διὰ τοῦτό μοι δοκεῖ παιδεύειν ἡμᾶς τῇ διδασκαλίᾳ τῆς προσευχῆς ὁ λόγος μηδαμῶς ἐν τῇ πρὸς θεὸν ἐντεύξει ὡς ἐπὶ καθαρῷ τῷ συνειδότι παρρησιάζεσθαι, κἂν ὅτι μάλιστα τῶν ἀνθρωπίνων πλημμελημάτων κεχωρισμένος τις ᾖ. ἴσως γάρ τις, κατὰ τὸν νεανίαν ἐκεῖνον τὸν πολυκτήμονα ταῖς ἐντολαῖς τὴν ζωὴν ἑαυτοῦ παιδαγωγήσας, ἔχει τὸ τοιοῦτον ἐπὶ τοῦ ἰδίου καυχήσασθαι βίου καὶ εἰπεῖν τῷ θεῷ ὅτι Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, καὶ

12-15 cf Luc 15, 8-16 26 Mar 10, 20; cf Luc 18, 21; Matth 19, 20

1 τὸν: τὸ MA 1-2 δραπέτης—γενόμενος om Z 4 συνεῖναι: δουλεύειν ΦZ 5 παρὰ: ὑπὸ Φ 9 ἡ om v δελεαμάτων Ψ (cf Or cat 98, 13) 10 ἂν om Ψv τιμωρίας ΨZ: om Φ 12 πρώτην om Φ δραγμῆς WA 13 τοῦ πατρὸς τραπέζης WM² (ut vid)A 14 βίον ΨZ: τρόπον Φ (cf 27, 1) 15 διαφθορὰ θ sscr M²A 16 διὰ om Ψv ἰδεῖν ἔστι Ψv 16-17 ἐξαριθμήσηται Φ 17 τοσούτοις καὶ τοιούτοις ΦZ: τοιούτοις καὶ τοσούτοις Ψ τοιούτοις v 18 τὸ ἀνθρώπινον τῷ θεῷ Ψv 20 τὸν ante θεὸν add Φ 22 ᾖ: εἴη Φ 24 ἑαυτοῦ Ψ (ex αὐτοῦ corr K): αὐτοῦ Φ 25 τοιοῦτο VM καυχᾶσθαι Φ 26 ταῦτα πάντα ΨZ: πάντα ταῦτα Φ

ὑπειληφέναι ἑαυτῷ, διὰ τὸ μηδὲν εἰς τὰς ἐντολὰς πλημμελῆσαι, μὴ λίαν ἁρμόζειν τὴν ὑπὲρ τῶν ὀφλημάτων παραίτησιν ὡς μόνοις τοῖς ἐξημαρτηκόσιν ἁρμόζουσαν. καὶ μήν φησι τῷ μολυνθέντι διὰ πορνείας τὴν τοιαύτην πρέπειν φωνήν, ἢ τῷ διὰ πλεονεξίας εἰδωλολατρήσαντι ἀναγκαίαν τὴν αἴτησιν τῆς συγγνώμης εἶναι, καὶ παντὶ ὅλως τῷ διά τινος πλημμελήματος τὸ συνειδὸς τῆς ψυχῆς καταστίξαντι καλὸν καὶ ἁρμόδιον εἶναι τὸ καταφεύγειν πρὸς ἔλεον. εἰ δὲ Ἠλίας ἐκεῖνος ὁ πολὺς εἴη ἢ ὁ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ὁ μέγας ἐν γεννητοῖς γυναικῶν ἢ Πέτρος ἢ Παῦλος ἢ Ἰωάννης ἤ τις
1184 M. ἄλλος τῶν πρὸς τὸ κρεῖττον μεμαρτυρημένων ὑπὸ τῆς θείας γραφῆς, εἰς τί χρήσεται τῇ τοιαύτῃ φωνῇ τῇ παραιτουμένῃ αὐτὸν ἀπὸ τῶν ὀφλημάτων, ᾧ γε οὐδὲν ἐξ ἁμαρτίας ὄφλημα;

Ἀλλ' ὡς ἂν μή τις πρὸς τὰ τοιαῦτα βλέπων ἀπαυθαδιάζοιτο κατὰ τὸν Φαρισαῖον ἐκεῖνον τὸν οὐδ' ὅ τι ἦν κατὰ φύσιν ἐπιγινώσκοντα—εἰ γὰρ ἐγνώκει ὅτι ἄνθρωπος ἦν πάντως ἂν τὸ μὴ καθαρεύειν ἀπὸ ῥύπου τὴν φύσιν παρὰ τῆς ἁγίας ἐδιδάχθη γραφῆς, ἥ φησι μηδεμιᾶς ἡμέρας ζωὴν δυνατὸν εἶναι δίχα κηλῖδος ἐπ' ἀνθρώπων εὑρεῖν—ὡς ἂν οὖν μηδὲν τοιοῦτον περὶ τὴν ψυχὴν τοῦ διὰ προσευχῆς τῷ θεῷ προσιόντος πάθος ἐγγένοιτο, μὴ πρὸς τὰ κατορθώματα βλέπειν ὁ λόγος παρεγγυᾷ ἀλλ' ἐπαναλαμβάνειν τὴν μνήμην τῶν κοινῶν τῆς φύσεως ὀφλημάτων, ὧν πάντως καὶ αὐτός τι μετέχει, τὸ μέρος συμμετέχων τῆς φύσεως, καὶ συμ-

3-6 cf Col 3, 5; Eph 5, 5 9-10 Luc 1, 17; 7, 28; Matth 11, 11 15 Luc 18, 10-14 18-19 Iob 14, 4-5; cf Prov 20, 9; 24, 16; Ecclesiastes 7, 20; III Regn 8, 46; II Par 6, 36; I Ioh 1, 8

1 ὑπειληφέναι ΨZ: ὑπείληφεν ἐν Φ ὑπηλειφέναι v ἑαυτῷ ΦZ: αὐτῷ Ψv 3 μήν om ΨZv 4 διὰ πορνείας ΨZ: δι' ἁμαρτίας Φ τρέπειν OR 5 εἰδωλαλατρήσαντι OR 6 τῷ: τὸ OR 6-7 πλημμελείας Ψv 8 καταφυγεῖν Ψv 9 ἠλιοῦ vel ἡλιοῦ libri μέγας: μὲν v 11 ἄλλος: ὅλως ΦZ 12 χρήσηται W χρήσαιτο Ψv 13 ἦν ὅλως ἂν post οὐδὲν add VM ἦν ὅλως add WZ 14 ἀλλ' ΦZ: om Ψv 15 οὐδ' ὅ τι: οὐδὲ τί Φ 16 τὴν φύσιν Ψv 18 ἁγίας: θείας Φ om Z ζῆν Ψv 19 ἀνθρώπῳ v 21 πάθος om v γένοιτο Φ 23 φύσεως ΦZ: ἀνθρωπίνης φύσεως Ψv τις ante καὶ add ORv τι add K 24 τι om Ψv ὁ συμμετέχων ΦZ

παρακαλεῖν τὸν κριτὴν ἀμνηστίαν τῶν πλημμελημάτων χαρίσασθαι. ὡς γὰρ ζῶντος ἐν ἡμῖν τοῦ Ἀδὰμ πάντες οἱ καθ' ἕνα ἕκαστον ἄνθρωποι ἕως ἂν τοὺς δερματίνους τούτους χιτῶνας περὶ τὴν ἑαυτῶν βλέπωμεν φύσιν καὶ τὰ πρόσκαιρα φύλλα τῆς ὑλικῆς ταύτης ζωῆς, ἅπερ τῶν ἀϊδίων τε καὶ λαμπρῶν ἐνδυμάτων γυμνωθέντες κακῶς ἑαυτοῖς συνερράψαμεν, τρυφὰς καὶ δόξας καὶ τὰς ἐφημέρους τιμὰς καὶ τὰς ὠκυμόρους τῆς σαρκὸς πληροφορίας ἀντὶ τῶν θείων περιβολαίων μετενδυσάμενοι, καὶ μέχρις ἂν τὸν τῆς κακώσεως βλέπωμεν τόπον ἐν ᾧ κατεδικάσθημεν παροικεῖν, ἐπειδὰν πρὸς ἀνατολὴν ἑαυτοὺς στρέψωμεν—οὐχ ὡς μόνον ἐκεῖ τοῦ θεοῦ θεωρουμένου· ὁ γὰρ πανταχοῦ ὢν κατ' οὐδὲν μέρος ἰδιαζόντως καταλαμβάνεται· ἐπίσης γὰρ περιέχει τὸ πᾶν· ἀλλ' ὡς ἐν ἀνατολαῖς τῆς πρώτης ἡμῖν πατρίδος οὔσης, λέγω δὲ τῆς ἐν παραδείσῳ διαγωγῆς, ἧς ἐκπεπτώκαμεν· Ἐφύτευσεν γὰρ ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς—ὅταν τοίνυν πρὸς τὰς ἀνατολὰς ἀναβλέπωμεν καὶ τῆς ἐκπτώσεως τῶν φωτεινῶν τε καὶ ἀνατολικῶν τῆς μακαριότητος τόπων τῇ διανοίᾳ τὴν μνήμην λάβωμεν, εἰκότως τὴν τοιαύτην φωνὴν προβαλλόμεθα οἱ ὑπὸ τῆς πονηρᾶς τοῦ βίου συκῆς σκιαζόμενοι, οἱ ἐξ ὀφθαλμῶν τοῦ θεοῦ ῥιφέντες, οἱ πρὸς τὸν ὄφιν αὐτομολήσαντες τὸν ἐσθίοντα γῆν καὶ εἰς γῆν ἰλυσπώμενον καὶ ἐπὶ τὸ στῆθος καὶ τὴν κοιλίαν ἑαυτοῦ πορευόμενον καὶ ἡμῖν τὰ ἴσα ποιεῖν συμβουλεύοντα, περὶ τὴν γηΐνην ἀπόλαυσιν

3-4 cf Gen 3, 21 15-16 Gen 2, 8 20-21 cf Gen 3, 7; Matth 21, 19; Mar 11, 13-14 21 cf Gen 3, 23-24 22-23 cf Gen 3, 14

24-1 παρακαλεῖν Ψv 2 ὡς γὰρ ζῶντος—66, 8 ἡμῶν ὥστε om V ἕνα M: ἓν W om ΨAv 3 ἂν om v τούτους ΨZ: om Φ 5 ἀϊδίων ΦZ: ἰδίων Ψv 8 περιβολῶν Ψv 9 σαρκώσεως v 11 τρέψωμεν Ψv 12 ὢν om Φ ἰδιάζων Φ 13 γὰρ om Φ περιέχων Φ 14 πατρίδος ἡμῶν ΦZ hinc usque ad finem deest saepe O (vide Praef I E) δὲ ΨZ: δὴ Φ 15 γὰρ om v 16-17 πρὸς τὰς ΨZ: κατ' Φ βλέπωμεν Φv 19 ἀναλάβοιμεν Φ 19-20 προβαλλόμεθα φωνὴν Φ προσβαλλόμεθα v οἱ: om ΦK ὡς Z 20-21 σκεπαζόμενοι ΦZ 22 τὸν om v γῆν ante καὶ om v εἰλυσπώμενον W(-πομ- W)M

ἔχειν καὶ τοῖς χαμαιζήλοις καὶ χαμερπέσι τὴν καρδίαν ἑαυτῶν ἐπισύρειν νοήμασι καὶ ἐπὶ κοιλίαν πορεύεσθαι, τουτέστι, περὶ τὸν ἀπολαυστικὸν ἀσχολεῖσθαι βίον. ἐν τούτοις οὖν ὄντες, εἶτα, κατὰ τὸν ἄσωτον ἐκεῖνον μετὰ τὴν μακρὰν ταλαιπωρίαν ἣν τοὺς χοίρους ποιμαίνων ὑπέμεινεν, ἐπειδὰν εἰς ἑαυτοὺς ἐπανέλθωμεν καὶ τοῦ οὐρανίου πατρὸς ἔννοιαν λάβωμεν, καλῶς κεχρήμεθα ταῖς τοιαύταις φωναῖς ὅτι Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὥστε κἂν Μωϋσῆς τις ᾖ, κἂν Σαμουήλ, κἂν ἕτερός τις τῶν δι' ἀρετῆς ἐξεχόντων, οὐδὲν ἧττον ἁρμόζουσαν ἡγεῖται ταύτην, καθ' ὃ ἄνθρωπός ἐστιν, ἑαυτῷ τὴν φωνὴν ὁ κοινωνῶν μὲν τῆς φύσεως τοῦ
1185 M. Ἀδάμ, κοινωνῶν δὲ καὶ τῆς ἐκπτώσεως. ἐπειδὴ γάρ, καθώς φησιν ὁ ἀπόστολος, ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, κοινὴν εἶναι προσήκει τὴν τῷ Ἀδὰμ ἐπὶ μετανοίᾳ πρέπουσαν φωνὴν πάντων τῶν ἐκείνῳ συντεθνηκότων, ὡς ἂν τῆς ἀμνηστίας ἡμῖν τῶν πλημμεληθέντων δοθείσης χάριτι πάλιν ὑπὸ τοῦ κυρίου σωθείημεν, καθώς φησιν ὁ ἀπόστολος.

Ἀλλὰ ταῦτα μὲν εἴρηται ὡς ἄν τις τὸν κοινότερον ἐπισκοπῶν λόγον εἰς τὸ προκείμενον θεωρήσειεν. εἰ δέ τις τὴν ἀληθῆ τοῦ ῥήματος ἐπιζητοίη διάνοιαν, οὐκ οἶμαι χρείαν ἡμῖν εἶναι πρὸς τὸ κοινὸν τῆς φύσεως ἀναφέρειν τὴν ἔννοιαν· ἱκανὴ γὰρ ἡ συνείδησις ἐκ τῶν ἑκάστῳ βεβιωμένων ἀναγκαίαν ποιήσασθαι τοῦ ἐλέου τὴν αἴτησιν. ἐγὼ γὰρ οἶμαι, πολυειδῶς κατὰ τὸν βίον τοῦτον τῆς ζωῆς ἡμῖν ἐνεργουμένης, τῆς μὲν κατὰ ψυχὴν καὶ διάνοιαν, τῆς δὲ κατὰ τὰς αἰσθήσεις τοῦ σώματος, δύσκολον ἢ καὶ παντάπασιν ἀμήχανον εἶναι μὴ πάντως ἑνί τινι πρὸς ἁμαρτίαν πάθει συνενεχθῆναι. οἷον τί λέγω; τῆς ἀπολαυστικῆς ταύτης τῆς κατὰ τὸ σῶμα

13 I Cor 15, 22   17 Eph 2, 5

3 περὶ: ἐπὶ Φ   4 εἶτα om Ψv   6 ὥσπερ κἀκεῖνος post ἐπανέλθωμεν add Ψv om ΦZ   9 κἂν ante σαμουήλ: καὶ Ψv   10 καθὼ W καθὰ Ψv   11 μὲν om Ψv   14 κοινὴν om v   τὴν om v   τῇ μετανοίᾳ Ψv   πρέπουσα OR (-αν R^2)   16 πλημμελημάτων Ψv   19 εἰς om Ψv   20 ζητοίη Ψv   ἡμῖν: ἐφ' ἡμῶν Ψ ἐφ' ἡμῖν v   23 ἐγὼ γὰρ οἶμαι πολυειδῶς: πολυειδῶς γὰρ v   24 ἡμῶν ΦZ   27 μὴ πάντως ΦZ: om Ψ μὴ v

ζωῆς ἐπιμεριζομένης ἡμῶν ταῖς αἰσθήσεσιν, τῆς δὲ κατὰ ψυχὴν ἐν τῇ τῆς διανοίας ὁρμῇ θεωρουμένης καὶ ἐν τῇ κινήσει τῆς προαιρέσεως, τίς οὕτως ὑψηλός τε καὶ μεγαλοφυὴς τῷ φρονήματι ὡς δι᾽ ἀμφοτέρων ἔξω γενέσθαι τοῦ κατὰ κακίαν μολύσματος; τίς κατὰ τὸν ὀφθαλμὸν ἀναμάρτητος; τίς κατὰ τὴν ἀκοὴν ἀνυπεύθυνος; τίς τῆς βοσκηματώδους ταύτης τῆς κατὰ τὸν λαιμὸν ἡδονῆς ἀλλότριος; τίς τῇ ἀφῇ τῆς κατὰ τὴν ἁμαρτίαν λαβῆς καθαρεύει; τίς οὐκ οἶδεν τὸ αἴνιγμα τῆς γραφῆς τῆς λεγούσης διὰ θυρίδων εἰσεληλυθέναι τὸν θάνατον; τὰς γὰρ αἰσθήσεις, δι᾽ ὧν ἐκκύπτουσα ἡ ψυχὴ πρὸς τὰ ἔξωθεν πράγματα τῶν κατὰ γνώμην ἀντιλαμβάνεται, θυρίδας ἡ γραφὴ προσηγόρευσεν, ἃς ὁδοποιεῖν τῷ θανάτῳ τὴν εἴσοδον ὁ λόγος φησίν. τῷ ὄντι γὰρ πολλῶν θανάτων εἴσοδος γίνεται πολλάκις ὁ ὀφθαλμός, ἢ θυμούμενον βλέπων καὶ πρὸς τὸ ἴσον πάθος ἀντεγειρόμενος, ἢ εὐημεροῦντα παρ᾽ ἀξίαν καὶ εἰς φθόνον ἀναφλεγόμενος, ἢ ὑπερηφανοῦντα καὶ πρὸς μῖσος ἐκπίπτων, ἤ τινα εὐχροοῦσαν ὕλην ἢ ἐπὶ μορφῆς εὐφυεστέραν διάπλασιν καὶ ὅλος πρὸς τὴν τοῦ ἀρέσαντος ἐπιθυμίαν κατολισθαίνων. οὕτως ἀνοίγει τῷ θανάτῳ τὰς θυρίδας τὸ οὖς· δι᾽ ὧν ἀκούει πολλὰ πάθη ἐπὶ τὴν ψυχὴν παραδέχεται, φόβον, λύπην, θυμόν, ἡδονήν, ἐπιθυμίαν, διάχυσιν γέλωτος καὶ τὰ τοιαῦτα. ἡ δὲ κατὰ τὴν γεῦσιν ἀπόλαυσις μήτηρ, ὡς ἂν εἴποι τις, τῶν καθ᾽ ἕκαστόν ἐστι κακῶν· τίς γὰρ οὐκ οἶδεν ὅτι ῥίζα σχεδόν ἐστι τῶν περὶ τὸν βίον πλημμελημάτων ἡ περὶ τὸν λαιμὸν ἀσχολία; ταύτης γὰρ ἐξήρτηται ἡ τρυφή, ἡ μέθη, ἡ γαστριμαργία,

9 Ier 9, 20; cf supra 37, 25 sqq

3 οὕτως VM(οὕτος ω sscr V οὕτως M)Z: οὗτος WΨv τε om Φ 7 τῆς om Ψv τῇ om Φ 8 βλάβης ΦZ 9 τῆς alt om Ψv τῶν θυρίδων Ψv 10 ἐκπίπτουσα v 11 ἔξω Φ 14 ὁ sscr V om W ἢ: ὁ v 16 φλεγόμενος Ψv 16-17 ὑπερηφανευόμενον Ψ ὑπερηφανούμενον v 17 τινα εὐχροοῦσαν: χρυσοῦ Z ἢ ἐπὶ: εὐπρεπῆ καὶ Z (ut vid) ἐπὶ: καὶ εὐπρεπῆ Φ (sed καὶ sscr V et verba ὕλην ἢ καὶ in ras W) καὶ ἐπὶ NS 18 ὅλως VANSZ (ut vid) (cf 6, 17)

ἡ περὶ τὴν δίαιταν ἀσωτία, ἡ πληθώρα, ὁ κόρος, ὁ κῶμος, ἡ κτηνώδης καὶ ἄλογος περὶ τὰ πάθη τῆς ἀτιμίας καταφορά. ὁμοίως ἡ κατὰ τὴν ἁφὴν αἴσθησις πάντων ἔσχατον τῶν ἁμαρτανομένων ἐστίν· πάντα γὰρ ὅσα τῷ σώματι παρὰ τῶν φιληδόνων ἐπιτηδεύεται τῆς ἁπτικῆς ἀντιλήψεώς ἐστιν ἀρρωστήματα, ὧν τὰ καθ' ἕκαστον διηγεῖσθαι μακρὸν ἂν εἴη, καὶ οὐδὲ πρέπον ἅμα τοῖς σεμνοτέροις τῶν λόγων παραμιγνύειν ὅσα τῆς ἁφῆς ἐστι κατηγορήματα.

1188 M. Τῶν δὲ κατὰ ψυχήν τε καὶ προαίρεσιν πλημμελουμένων τὸν ἑσμὸν τίς ἂν ἐξαριθμήσαιτο λόγος; Ἔσωθεν, φησίν, ἐκπορεύονται διαλογισμοὶ πονηροί, καὶ προσέθηκε τῶν δι' ἐνθυμήσεων κοινούντων ἡμᾶς τὸν κατάλογον. εἰ τοίνυν οὕτω πανταχόθεν ἡμῖν τὰ τῶν ἁμαρτιῶν δίκτυα περικέχυται, διὰ πάντων τῶν αἰσθητηρίων, διὰ τῶν ἐγκαρδίων τῆς ψυχῆς κινημάτων, Τίς καυχήσεται, καθὼς ἡ Σοφία φησίν, ἁγνὴν ἔχειν καρδίαν; Τίς κεκαθάρισται ἀπὸ ῥύπου; ὡς ὁ Ἰὼβ τὸ τοιοῦτον μαρτύρεται. ῥύπος ἐστὶ τῆς κατὰ ψυχὴν καθαρότητος ἡ ἡδονὴ ἡ πολυμερῶς καὶ πολυτρόπως τῷ ἀνθρωπίνῳ καταμεμιγμένη βίῳ, διὰ ψυχῆς τε καὶ σώματος, δι' ἐνθυμήσεων, δι' αἰσθήσεων, διὰ τῶν κατὰ πρόθεσιν κινημάτων, διὰ τῶν σωματικῶν ἐνεργημάτων. τίς οὖν καθαρὰν τῆς κηλῖδος ταύτης τὴν ψυχὴν ἔχει; πῶς οὐκ ἐπλήγη τῷ τύφῳ, πῶς οὐκ ἐπατήθη τῷ ποδὶ τῆς ὑπερηφανίας, ὃν ἡ ἁμαρτωλὴ χεὶρ οὐκ ἐσάλευσεν, οὗ ὁ ποῦς εἰς κακίαν οὐκ ἔδραμεν, ὃν ὀφθαλμὸς ἀτακτῶν οὐκ ἐμόλυνεν, καὶ ἀπαίδευτος ἀκοὴ οὐκ ἐρρύπωσεν, καὶ ἡ γεῦσις πρὸς ἑαυτὴν οὐκ ἠσχόλησεν, καὶ ἡ καρδία πρὸς ματαίας κινήσεις ἀνενέργητος ἔμεινεν; ἐπεὶ

4-6 cf Aristot Eth Nic III, 10, 1118a31-b8 10 Mar 7, 21; Matth 15, 19 15 Prov 20, 9 17 Iob 14, 4

1 ἀσωτία: ἀσχολία ΦΖ 5 τῆς ἀντιλήψεως τῆς ἁπτικῆς v 9 τὴν ψυχήν Ψv πλημμελουμένων ΨΖ: πληρουμένων Φ 11-12 δι' ἐνθυμήσεων: ἐνθυμήσεων τῶν Ψv om Z 12 κοινωνούντων Ψ 13 ἁμαρτημάτων Φ 15 φησιν ἡ σοφία Φ 16 τὴν καρδίαν Φ κεκάθαρται Φ 18 ἡ post ἡδονὴ om Φ 19 καταμιγνυμένη Ψv 22 πῶς: ὃς WM (e corr M) 23 πῶς: ὃς e corr ut vid WM ἠπατήθη ΦΖ 25 ὁ ὀφθαλμὸς VW

οὖν ταῦτα περὶ ἡμᾶς χείρω μὲν καὶ χαλεπώτερα τοῖς κτηνωδεστέροις, μετριώτερα δὲ τοῖς ἐπιμελεστέροις, πάντη δὲ καὶ πάντως ἐν πᾶσι τοῖς κοινωνοῦσι τῆς φύσεώς ἐστι καὶ ἡ κοινωνία τῶν πλημμελημάτων τῆς φύσεως, διὰ τοῦτο προσπίπτοντες διὰ προσευχῆς τῷ θεῷ ἀφεθῆναι ἡμῖν τὰ ὀφειλήματα παρακαλοῦμεν. ἀλλ' ἄπρακτός ἐστιν ἡ τοιαύτη φωνὴ καὶ εἰς ἀκοὰς θείας οὐ φθάνουσα μὴ τῆς συνειδήσεως ἡμῶν συμβοώσης ὅτι καλόν ἐστιν ἡ τοῦ ἐλέου μετάδοσις. ὁ γὰρ θεῷ πρέπειν τὴν φιλανθρωπίαν κρίνων—οὐ γὰρ ἂν εἰ μὴ πρέπειν ᾤετο πρὸς τὸ ἀπρεπές τε καὶ ἀνάρμοστον ἐλθεῖν ἠξίου—δίκαιος ἂν εἴη τοῖς ἰδίοις ἔργοις τὴν περὶ τοῦ καλοῦ βεβαιῶσαι κρίσιν, ὡς ἂν μὴ τὸ τοιοῦτον ἀκούσειεν παρὰ τοῦ δικαίου κριτοῦ ὅτι Ἰατρέ, θεράπευσον σεαυτόν. ἐμὲ πρὸς φιλανθρωπίαν παρακαλεῖς, ἧς τοῖς πέλας αὐτὸς οὐ μετέδωκας. ἄφεσιν ὀφλημάτων αἰτεῖς· πῶς οὖν κατάγχεις σοῦ τὸν ὑπόχρεων; ἐξαλειφθῆναι τὸ κατὰ σοῦ χειρόγραφον εὔχῃ ὁ δι' ἐπιμελείας φυλάσσων τὰ τῶν ὑπευθύνων συμβόλαια. χρεῶν αἰτεῖς ἀποκοπὰς ὁ τρέφων διὰ τῶν τόκων τὸ δάνειον. ὁ σὸς ὀφειλέτης ἐν δεσμωτηρίῳ καὶ σὺ ἐν εὐκτηρίῳ. ἐκεῖνος ἐπὶ τοῖς ὀφλήμασιν ὀδυνᾶται καὶ σὺ ἀφεθῆναί σοι τὴν ὀφειλὴν ἀξιοῖς. ἀνήκοός ἐστί σου ἡ προσευχή· ὑπερηχεῖ γὰρ ἡ τοῦ ὀδυνωμένου βοή. ἐὰν λύσῃς τὸ σωματικὸν χρέος, λυθήσεται σοὶ τῆς ψυχῆς τὰ δεσμά. ἐὰν συγχωρήσῃς, συγχωρηθήσεται σοί. σεαυτῷ δικάσεις, σεαυτῷ νομοθετήσεις, τῇ πρὸς τὸν ὑποκείμενον διαθέσει τὴν ἄνωθεν ψῆφον ἐπὶ σεαυτοῦ φέρων.

Τοιοῦτόν τί μοι δοκεῖ καὶ ἐν ἑτέρῳ λόγῳ διδάσκειν ὁ

13 Luc 4, 23 26 Matth 18, 23 sqq

1 ταῦτα: τὰ v χαλεπωδέστερα Ψv 2 μετριώτερα δὲ τοῖς ἐπιμελεστέροις om Wv 6 ἄπρακτός ΨZ: ἀπαράδεκτός Φ 7 οὐ om v 8 ἡμῶν: ἡμῖν Ψv τῇ φωνῇ Z ἐλέους Ψv 9-10 ὁ γὰρ θεῷ—κρίνων post ἠξίου coll R²(ut vid)K 10 πρὸς τὸ ἀπρεπές τε καὶ ἀνάρμοστον om Z τε om Φ 13 δικαίου om v 14 αὐτὸς om ΦZ 15 σὺ Ψv 16 ὑπόχρεον Φ 19 καὶ—ἐκεῖνος om Z 21 σου ἐστὶν Φ (ἐστὶν om M) 22 βοή: φωνή Ψv 24 σοί ΦZ: om Ψv 25 σεαυτὸν Φ (cf 61, 7) 26 τοιοῦτόν τί μοι—72, 17 τὰς τῶν πονηρῶν uno ut vid fol deperd desunt V τῷ ἑτέρῳ v

1189 M. κύριος, διηγηματικῶς τὸ δόγμα τοῦτο παρατιθέμενος, ἔνθα βασιλεύς τίς ἐστιν ἐν τῷ διηγήματι φοβερῶς προκαθήμενος καὶ τοὺς οἰκέτας εἰς κρίσιν ἄγων καὶ τῶν οἰκονομηθέντων παρ' ἑκάστου τὴν γνῶσιν ἐπιζητῶν. προσαχθέντος δέ τινος τῶν χρεωφειλετῶν καὶ φιλανθρωπίας τετυχηκότος, ἐπειδὴ προσπεσὼν ἀντὶ τῆς τῶν χρημάτων ἐκτίσεως τὴν ἱκετηρίαν προσήγαγεν, εἶτα κατὰ τοῦ ὁμοδούλου ἐπὶ μετρίῳ ὀφλήματι πικρῶς τε καὶ ἀπηνῶς διατεθέντος, ὀργιζόμενον ἐποίησεν ἐπὶ τῇ πρὸς τὸν ὁμόδουλον ἀπηνείᾳ τὸν βασιλέα· καὶ προσέταξε τοῖς βασανισταῖς παγγενεὶ αὐτὸν τῆς τοῦ βασιλέως οἰκίας ἀλλοτριῶσαι, ἐπὶ τοσοῦτον δὲ παρατεῖναι τὴν κόλασιν ἕως ἂν τὴν ἀξίαν τιμωρίαν ἀποπληρώσῃ. ἀληθῶς γὰρ ὀβολοί τινές εἰσιν, εὐτελεῖς τε καὶ εὐαρίθμητοι πρὸς μυριάδας ταλάντων παρατιθέμενοι, τὰ τῶν ἀδελφῶν ἡμῶν εἰς ἡμᾶς ὀφλήματα συγκρίσει τῶν ἡμετέρων πρὸς τὸν θεὸν ὀφλημάτων. ζημία πάντως ἐστὶν ἢ ὕβρεως ἀφορμὴ παρά τινος γεγενημένη ἢ οἰκέτου κακία ἢ καὶ εἰς σωματικὸν θάνατον ἐπιβουλή· εἶτα σὺ πρὸς τὴν ἄμυναν τούτων ἐν φλεγμονῇ καρδίας ἐξερεθίζῃ καὶ πᾶσαν ἐπίνοιαν εἰς τὴν τῶν προλελυπηκότων τιμωρίαν ἀναζητεῖς. οὐ λογίζῃ, εἰ μὲν πρὸς οἰκέτην ὁ θυμὸς φλεγμαίνοι, ὅτι οὐ φύσις ἀλλὰ δυναστεία πρὸς δουλείαν τε καὶ κυριότητα τὸ ἀνθρώπινον ἔσχισεν. τῷ γὰρ ἀνθρώπῳ δουλεύειν ὁ τοῦ παντὸς οἰκονόμος τὴν ἄλογον φύσιν ἐνομοθέτησεν, καθώς φησιν ὁ προφήτης ὅτι Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν

24 Ps 8, 7-9

2 ἐστιν: ἦν M om W 5 χρεοφειλετῶν WK (o fort e corr K) χρεοφιλετῶν M 6 ἐκτήσεως WM 7 ἐπὶ μετρίῳ: ἐπιμετρίῳ v 8 ἐπὶ om v 9 προστάξαι ΦZ 10 παγγενῆ ΦK παγγενὶ OR (γγ legi nequit O ι ut vid fort ex ει corr R) παγγενεῖ N πάγχυ v correxi 11 δὲ: τε ORv 12 ἀναποπληρώσῃ v 13 ἀτελεῖς v 15 τῶν—ὀφλημάτων ΦZ: πρὸς τὸν θεὸν τῶν ἡμετέρων πλημμελημάτων Ψv (πρὸς om v) 16 ἢ A (e corr A)KZ: ἡ W ἡ MRv 17 ἢ ante οἰκέτου Z: ante παρά 16 coll WMA (ἡ M ἢ e corr A) ἡ Ψ ἢ ante καὶ A(e corr A)ΨZ: om W ἡ M 18 ἐν φλεγμονῇ: ἐκφλεγομένη W ἐνφλεγομένη M καρδία WM 19 τὴν ἐπίνοιαν Ψv 20 ἐπιζητεῖς Φ 22 ἔσχησεν OR 23 ἄγονον v μόνην post φύσιν add Ψv om ΦZ (ut vid)

αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας καὶ τὰ πετεινὰ καὶ τὰ κτήνη καὶ τοὺς ἰχθύας, ταῦτά τε καὶ δοῦλα προσαγορεύει, φήσας ἑτέρωθι τῆς προφητείας, Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. τὸν δὲ ἄνθρωπον τῇ αὐτεξουσίῳ χάριτι κατεκόσμησεν, ὥστε τὸ ἴσον ἔχει σοι τῷ τῆς φύσεως ἀξιώματι ὁ ὑπεζευγμένος συνηθείᾳ καὶ νόμῳ. οὔτε παρὰ σοῦ γέγονεν οὔτε ἐν σοὶ ζῇ οὔτε τὰς σωματικάς τε καὶ τὰς τῆς ψυχῆς ἐνεργείας παρὰ σοῦ λαβὼν ἔχει. τί οὖν τοσοῦτον ἐπιζέεις κατ' αὐτοῦ τῷ θυμῷ, ῥαθυμήσαντός τινος ἢ ἀποστατήσαντος ἢ τάχα καταφρόνησιν ἐνδειξαμένου σοι κατὰ πρόσωπον, δέον πρὸς ἑαυτὸν βλέπειν, οἷος σὺ γέγονας τῷ δεσπότῃ τῷ πλάσαντί σε καὶ παραγαγόντι διὰ γενέσεως καὶ κοινωνόν σε τῶν ἐν τῷ κόσμῳ θαυμάτων ποιήσαντι, τῷ προθέντι τὸν ἥλιον εἰς ἀπόλαυσιν καὶ πάσας τὰς πρὸς τὸ ζῆν ἀφορμὰς ἐκ τῶν στοιχείων χαρισαμένῳ, ἐκ γῆς τε καὶ πυρὸς καὶ ἀέρος καὶ ὕδατος, τῷ παρασχομένῳ τὴν διανοητικὴν χάριν, τὴν ἀντιληπτικὴν αἴσθησιν, τὴν διακριτικὴν καλοῦ τε καὶ χείρονος ἐπιστήμην; πῶς σὺ πρὸς τὸν τοιοῦτον δεσπότην ἄρα καταπειθὴς καὶ ἀπρόσκοπος; οὐκ ἀπέστης τῆς δεσποτείας; οὐκ ἐδραπέτευσας πρὸς τὴν ἁμαρτίαν; οὐκ ἀντηλλάξω τὴν πονηρὰν δεσποτείαν; οὐ τό γε ἐπὶ σοὶ ἔρημον κατέλιπες τὴν τοῦ δεσπότου οἰκίαν, ἐν ᾧ ἐτάχθης ἐργάζεσθαι καὶ φυλάσσειν τούτου ἀποφοιτήσας; τὰ δὲ

3 Ps 146, 9; 103, 14

1-2 καὶ τὰ πετεινὰ—ἰχθύας: ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης Φ (cf test) 2 τε om ΦZ καὶ alt AΨZ: om WM 3 φήσας ΦZ: φησάσης Ψv 5 αὐτεξουσίᾳ v 6 τῷ: τὸ OR 8 τῆς ψυχῆς: ψυχικὰς WM (-χηκ- M) ψυχικὰς τῆς ψυχῆς v 10 ἀπονοστήσαντος W ἀποστάντος A ἀποστήσαντος v 14 πρὸς τὸ: τοῦ v 15 ἐκ alt om WM 16 τῷ παρασχομένῳ ΨZ: τοῦ παρασχομένου Φ 19 ἄρα k: οὐκ WM ἀρα R ἆρα K εἶ δοῦλος Z (ut vid) ἔσῃ v εὐπειθὴς WM ἀπρόσκοπτος v ἀπεστάτησας Φ 20-21 οὐκ ἀντηλλάξω—δεσποτείαν om ΦZ 22 κατέλιπες post δεσπότου coll Ψv 23 ἀπεφοίτησας WZv καὶ πρὸς τὸν πολέμιον αὐτομολήσας post ἀποφοιτήσας add ANS om WMΨZ (cf 63, 1; 65, 21-22; De inst chr VIII i 81, 21; De vita Moys VII i 127, 19-20)

κατειλεγμένα πλημμελήματα οὐχ ὑπὸ μάρτυρι τῷ θεῷ
1192 M. τῷ πανταχοῦ ὄντι καὶ πάντα ἐφορῶντι ἢ πράττεις ἢ λέγεις ἢ φρονεῖς τὰ μὴ δέοντα; εἶτα τοιοῦτος ὢν καὶ τοσούτοις ὑπόχρεως, μέγα τι οἴει τῷ ὁμοδούλῳ χαρίζεσθαι εἴ τι τῶν εἰς σὲ πλημμεληθέντων διὰ μακροθυμίας παρίδοις; εἰ τοίνυν μέλλοιμεν προσάγειν τῷ θεῷ τὴν ὑπὲρ τοῦ ἐλέου καὶ τῆς συγγνώμης παράκλησιν, παρασκευάσωμεν τῷ συνειδότι τὴν παρρησίαν, ὡς τὸν βίον συνήγορον τῆς φωνῆς ταύτης προστήσασθαι καὶ εἰπεῖν ἀληθῶς ὅτι Καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφείλουσιν ἡμῖν.

Τί δὲ βούλεται τὸ ἐφεξῆς τοῖς εἰρημένοις προσκείμενον; ἀναγκαῖον οἶμαι μηδὲ τοῦτο παραδραμεῖν ἀθεώρητον ὡς ἂν εἰδότες ᾧ προσευχόμεθα ψυχῇ καὶ μὴ στόματι τὴν ἱκεσίαν προσάγοιμεν· Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. τίς, ἀδελφοί, τῶν εἰρημένων ἡ δύναμις; δοκεῖ μοι πολυτρόπως τε καὶ διαφόρως ὁ κύριος τὸ κακὸν ὀνομάζειν, κατὰ τὰς τῶν πονηρῶν ἐνεργειῶν διαφορὰς πολυωνύμως αὐτὸ ἀποκαλῶν, διάβολον, Βεελζεβούλ, μαμωνᾶν, ἄρχοντα τοῦ κόσμου, ἀνθρωποκτόνον, πονηρόν, πατέρα ψεύδους καὶ ἄλλα τοιαῦτα. τάχα τοίνυν ἓν τῶν περὶ αὐτοῦ νοουμένων ὀνομάτων ἐστὶ καὶ ὁ πειρασμός, καὶ βεβαιοῖ τὴν τοιαύτην ἡμῖν ὑπόνοιαν ἡ τῶν εἰρημένων σύμφρασις. εἰπὼν γάρ, Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἐπήγαγεν τὸ ῥυσθῆναι τοῦ πονηροῦ, ὡς τοῦ αὐτοῦ δι' ἑκατέρου τῶν

18 Matth 4, 1 al (διάβ.); Matth 12, 24 al (Βεελ.)   19 Matth 6, 24 al (μαμ.); Ioh 14, 30 al (ἄρχ. τ. κ.); Ioh 8, 44 (ἀνθρ.); Matth 13, 19 al (πον.)   20 Ioh 8, 44 (πατ. ψ.)

1 κατηλεγμένα WA   καταλελεγμένα v   2 τὰ πάντα WA ἅπαντα M   4 οἴῃ v   5 διὰ μακροθυμίας om v   6 ἐλέους v   8 παρρησίαν ΑΨΖ: ἁμαρτίαν WM   9 προστήσεσθαι Φ   11 δὲ om v   προσκείμενον ΑΨΖ: προκείμενον WM   12 ἀναγκαῖον: ἀναγκαίως Ψv   ἀναγκαῖον ὡς Z   13 ᾧ: ὃ WA   σώματι ΨZv   τὴν om v   14 προσάγωμεν (-ομεν R) libri vk correxi   φησίν ante εἰς add WAZ   17 τὸ: τὸν Zv   18 αὐτὸν WΨZv   καλῶν Φ   19 μαμμωνὰν v   19-20 ἀνθρωποκτόνον post ψεύδους coll ΦZ   ἄλλα: ὅσα ΦZ   21 αὐτὸν Ψv   ὀνομάτων ΦΖΣ: ὄνομά τι Ψv   22 τοιαύτην ΨZ: αὐτὴν Φ   σύμφρασις: σύστασις v   24 ἀπὸ post ῥυσθῆναι add Ψv (cf 73, 25; 74, 1-3)   ἑκατέρου ΦZ: ἑκατέρων Ψv

ὀνομάτων σημαινομένου. εἰ γὰρ ὁ μὴ εἰσελθὼν εἰς πειρασμὸν ἔξω πάντως ἐστὶ τοῦ πονηροῦ, καὶ ὁ ἐν τῷ πειρασμῷ γενόμενος ἐν τῷ πονηρῷ κατ᾽ ἀνάγκην γίνεται, ἄρα ὁ πειρασμός τε καὶ ὁ πονηρὸς ἕν τι κατὰ τὴν σημασίαν ἐστίν. τί οὖν ἡμῖν ἡ τοιαύτη διδασκαλία τῆς προσευχῆς ἐγκελεύεται; τὸ ἔξω γενέσθαι τῶν κατὰ τὸν κόσμον τοῦτον θεωρουμένων, καθώς φησιν ἑτέρωθι πρὸς τοὺς μαθητὰς ὅτι Ὅλος ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται. οὐκοῦν ὁ ἐκτὸς γενέσθαι τοῦ πονηροῦ θέλων ἐξ ἀνάγκης τοῦ κόσμου ἑαυτὸν ἀποικίσει. οὐ γὰρ ἔχει χώραν ὁ πειρασμὸς τῆς ψυχῆς ἅψασθαι εἰ μὴ καθάπερ τι δέλεαρ τὴν κοσμικὴν ταύτην ἀσχολίαν τῷ πονηρῷ περιθεὶς ἀγκίστρῳ τοῖς λιχνοτέροις προτείνειεν. μᾶλλον δὲ σαφέστερον ἂν ἡμῖν δι᾽ ἑτέρων ὑποδειγμάτων τὸ νόημα γένοιτο. χαλεπὴ πολλάκις ἐκ τρικυμίας ἐστὶν ἡ θάλασσα, ἀλλ᾽ οὐχὶ καὶ τοῖς πόρρωθεν ἀπῳκισμένοις αὐτῆς. φθαρτικὸν τὸ πῦρ, ἀλλὰ τοῖς ὑποπεσοῦσιν. δεινὸς ὁ πόλεμος, ἀλλὰ μόνοις τοῖς κοινωνοῦσι τῆς παρατάξεως. ὥσπερ δὲ ὁ τὰς συμφορὰς τῶν ἐκ τοῦ πολέμου φεύγων κακῶν εὔχεται μὴ ἐμπεσεῖν πολέμῳ, καὶ ὁ τὸ πῦρ δεδοικὼς τὸ μὴ ἐν αὐτῷ γενέσθαι, καὶ ὁ φρίσσων τὴν θάλασσαν τὸ μὴ εἰς ἀνάγκην ναυτιλίας ἐλθεῖν, οὕτω καὶ ὁ τοῦ πονηροῦ τὴν προσβολὴν δεδοικὼς εὐχέσθω τὸ μὴ ἐν αὐτῷ γενέσθαι. ἐπειδὴ δέ, καθὼς προειρήκαμεν, ἐν τῷ πονηρῷ κεῖσθαι τὸν κόσμον ὁ λόγος φησίν, ἐν δὲ τοῖς κοσμικοῖς πράγμασιν αἱ τῶν πειρασμῶν ἀφορμαί, καλῶς καὶ προση-
1193 M. κόντως ὁ ῥυσθῆναι τοῦ πονηροῦ εὐχόμενος ἔξω τῶν πειρασμῶν γενέσθαι παρακαλεῖ. οὐ γὰρ ἄν τις καταπίοι τὸ ἄγκιστρον μὴ κατασπάσας ἐν λιχνείᾳ τὸ δέλεαρ. ἀλλ᾽ εἴπωμεν ἀναστάντες καὶ ἡμεῖς τῷ θεῷ ὅτι Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,

7 I Ioh 5, 19

4 ὁ post καὶ om Φ 6 γίνεσθαι Ψv 7 ἑτέρωθι: ὁ κύριος Φ ὁ ἀπόστολος Z 10 τι καθάπερ Φ 11 περιθεὶς ΦZ: om Ψv ἀγκίστρῳ ΨZ: ἄγκιστρον Φ (cf Or cat 84, 5; 93, 3) 12 προτείνοιεν W προέτεινεν Ψv ἂν om Φ 15 ἀποικιζομένοις v 15-16 τοῖς ὑποπεσοῦσιν: τῆς ὑποπεσούσης ὕλης Ψv 18 ἐκπεσεῖν v 24-25 προσηνῶς v ἀπὸ post ῥυσθῆναι add Ψv (cf ad 72, 24) 26 καταπίῃ Ψv 27-28 καὶ ἡμεῖς ἀναστάντες Ψv

τουτέστιν, εἰς τὰ τοῦ βίου κακά, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ τοῦ ἐν τῷ κόσμῳ τούτῳ τὴν ἰσχὺν κεκτημένου, οὗ ῥυσθείημεν χάριτι τοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δύναμις καὶ ἡ δόξα ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

3 καὶ ἡμεῖς ante χάριτι add Φ om ΨΖ ὅτι—5 αἰώνων: ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας Ζ αὐτῷ: αὐτοῦ ἐστιν Φ (cf Beat 170, 23) 4 ἅμα—ἀεὶ καὶ om Φ 5 τοῦ ἁγίου γρηγορίου ἐπισκόπου νύσης εἰς τὴν προσευχὴν ὁμιλίαι ε´ post ἀμήν add V τέλος σὺν θεῷ τῆς προσευχῆς add N ἐτελεώθη λόγος ε´ τῶν εἰρημένων (ἐτελεώθησαν οἱ ε´ λόγοι εἰρημένοι Σ) ὑπὸ τοῦ μακαρίου κυρίου μου γρηγορίου τοῦ ἀδελφοῦ τοῦ κυρίου μου βασιλείου εἰς τὴν προσευχὴν ὅτι πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ add ΖΣ

DE BEATITUDINIBUS

CONSPECTUS SIGLORUM
(De beatitudinibus)

Φ exemplar librorum sequentium

- V codex Vaticanus graecus 2066 membranaceus saec. IX
- W codex Vaticanus graecus 448 membranaceus saec. IX–X
- M codex Messanensis universitatis bibliothecae 80 membranaceus saec. XII

Ψ exemplar librorum sequentium

- O codex Monacensis graecus 370 membranaceus saec. X
- K codex Venetus Marcianus 67 membranaceus saec. XI
- R codex Monacensis graecus 107 chartaceus saec. XVI

v textus vulgatus editionis Parisinae anni 1638 et Patrologiae graecae, XLIV, 1193–1301

passim citantur

- C codex Cantabrigiensis collegii Trinitatis B. 9. 1 membranaceus saec. XI–XII
- N codex Parisinus graecus 584 membranaceus saec. XII
- S codex Vaticanus graecus 1907 chartaceus saec. XII–XIII
- A codex Angelicanus D. 3. 10 membranaceus saec. XI (sed vide Praef. p. XXXVII)
- E codex Parisinus Coislinianus graecus 58 membranaceus saec. X
- Z versionis syriacae codex Vaticanus syriacus 106 membranaceus saec. VI
- Σ versionis syriacae codex Musei Britannici syriacus 564 (add. 14,550) membranaceus saec. VI

^{2} ad siglum codicis adpositum (velut V^2O^2) alteram manum significat

al et alibi

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΕΙΣ ΤΟΥΣ ΜΑΚΑΡΙΣΜΟΥΣ

ΛΟΓΟΣ Α′

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

1193 M. Τίς ἄρα τοιοῦτός ἐστιν ἐν τοῖς συνειλεγμένοις ὡς μαθητής τε εἶναι τοῦ λόγου καὶ συναναβῆναι αὐτῷ χαμόθεν ἀπὸ τῶν κοίλων τε καὶ ταπεινῶν νοημάτων εἰς τὸ πνευματικὸν ὄρος τῆς ὑψηλῆς θεωρίας; ὃ πᾶσαν μὲν σκιὰν τὴν ἐκ τῶν ὑπερανεστηκότων τῆς κακίας γεωλόφων ἐκπέφευγεν, ἁπανταχόθεν δὲ τῇ τοῦ ἀληθινοῦ φωτὸς ἀκτῖνι περιλαμπόμενον ἐν καθαρᾷ τῇ τῆς ἀληθείας αἰθρίᾳ πάντα δίδωσιν ἐκ περιωπῆς καθορᾶν

2-3 Matth 5, 3; cf Luc 6, 20 9 cf Ioh 1, 9; I Ioh 2, 8

Titulus: τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν γρηγορίου ἐπισκόπου (ἐπισκόπου om W) νύσσης (νύσης VM) εἰς (ὁμηλία εἰς W) τὸ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν (ὅτι—οὐρανῶν om W) Φ τοῦ αὐτοῦ εἰς τοὺς μακαρισμούς ΨA τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν (πατρὸς ἡμῶν om v) γρηγορίου ἐπισκόπου (ἐπισκόπου om v) νύσσης (νύσσης legi nequit C) εἰς τοὺς μακαρισμούς Cv ἑρμηνεία—μακαρισμούς ut vid inter quae verba parum legi potest E ἑξῆς ἐξήγησις τῶν ἐν τῷ εὐαγγελίῳ μακαρισμῶν ἡ τοῦ μακαρίου γρηγορίου ἀδελφοῦ τοῦ κυρίου βασιλείου Z

1 λόγος α′ (fort scr E sed non iam certo legitur): ὁμιλία α′ A (post οὐρανῶν 3 coll A)C om Φ(sed cf titulum W)Ψ(sed λόγος κζ′ supra titulum scr K)Z 2-3 μακάριοι—οὐρανῶν WACEZ (τω πνεύματος [sic] E τοῦ οὐρανοῦ Z): om VM (sed cf titulos VM)Ψ ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων ante μακάριοι add v 4 ἐστιν om VM ante ὡς coll W συνηγμένοις Ψ sed in marg συνειλεγμένοις scr K 7 ὃ: ὃς VM 7-8 ὑπερανεστώτων VM ὑπερ των ανεστώτων (sic) W 9 περιλαμπόμενος VM

ὅσα τοῖς ἐν τῷ κοίλῳ καθειργμένοις ἐστὶν ἀθέατα. τὰ δὲ ἀπὸ τοῦ ὕψους τούτου κατοπτευόμενα οἷα καὶ ὅσα ἐστὶν αὐτὸς ὁ θεὸς λόγος, μακαρίζων τοὺς συναναβάντας αὐτῷ, διεξέρχεται, οἷον δακτύλῳ τινὶ δεικνὺς ἔνθεν μὲν τὴν τῶν οὐρανῶν βασιλείαν, ἑτέρωθεν δὲ τῆς ἄνω γῆς τὴν κληρονομίαν, εἶτα ἔλεον καὶ δικαιοσύνην καὶ παράκλησιν καὶ τὴν πρὸς τὸν θεὸν τῶν ὅλων γινομένην συγγένειαν καὶ τὸν ἐκ τῶν διωγμῶν καρπόν, ὅ ἐστι τὸ σύνοικον θεοῦ γενέσθαι, καὶ ὅσα ἄλλα πάρεστι πρὸς τούτοις βλέπειν ἄνωθεν ἐκ τοῦ ὄρους, δακτυλο-
1196 M. δεικτοῦντος τοῦ λόγου τὸ ἐκ τῆς ὑψηλῆς σκοπιᾶς διὰ τῶν ἐλπίδων ἀποβλεπόμενον. ἐπεὶ οὖν ἀναβαίνει εἰς τὸ ὄρος ὁ κύριος, ἀκούσωμεν Ἡσαΐου βοῶντος, Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου· κἂν ἀσθενῶμεν ἐξ ἁμαρτίας ἐνισχύσωμεν, καθὼς ὑφηγεῖται ἡ προφητεία, χεῖρας παρειμένας καὶ γόνατα παραλελυμένα. εἰ γὰρ ἐπὶ τοῦ ἄκρου γενοίμεθα, εὑρήσομεν τὸν ἰώμενον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, τὸν τὰς ἀσθενείας ἡμῶν ἀναλαμβάνοντα καὶ τὰς νόσους βαστάζοντα. οὐκοῦν δράμωμεν καὶ ἡμεῖς πρὸς τὴν ἄνοδον, ἵνα μετὰ Ἡσαΐου κατὰ τὴν ἀκρώρειαν τῆς ἐλπίδος γενόμενοι ἴδωμεν ἐκ περιωπῆς τὰ ἀγαθὰ ἐκεῖνα ὅσα τοῖς ἀκολουθήσασιν ἐπὶ τὸ ὕψος ὁ λόγος δείκνυσιν. ἀλλ' ἀνοιξάτω καὶ ἡμῖν ὁ θεὸς λόγος τὸ στόμα καὶ διδαξάτω ἡμᾶς ἐκεῖνα ὧν ἡ ἀκρόασις μακαριότης ἐστίν· γενέσθω δὲ ἡμῖν ἀρχὴ τῆς θεωρίας ἡ τῶν εἰρημένων τῆς διδασκαλίας ἀρχή.

Μακάριοι, φησίν, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ

12 Is 2, 3; cf Mich 4, 2 14 Is 35, 3; cf Hebr 12, 12 16 cf Ps 102, 3; Deut 7, 15; Is 53, 5 17-18 cf Matth 8, 17; Is 53, 4 sqq 21-22 cf Ex 4, 12 et 15

3 συναναβαίνοντας VM 4 τινὶ om WZ 9 πρὸς τούτοις πάρεστι Φ 10 τὸ om Ψv ὑψηλῆς WΨZ: ὑψηλῆς καὶ μεγάλης VM 11 ἐπειδὴ v 12 κύριος ΦΨZ: κύριος ὁ δι' ἡμᾶς καταβὰς ἵνα ἡμᾶς ἑαυτῷ συναγάγῃ AC καὶ post δεῦτε add VM 13 τοῦ om Φ ἐξ: δι' VM ἐξισχύσωμεν VM 14 προφητεία WΨZ: ἱστορία VM ἀνειμένας VM 16 πᾶσαν post καὶ om Z 17 ἀναλαβόντα VMZ (ut vid) 18 βαστάσαντα VMZ (ut vid) 19 ἡσαΐου: τοῦ ἰησοῦ ΦZ 21-22 ὁ θεὸς λόγος καὶ ἡμῖν VM 22 τὸ om VM 23 ἡμῶν v

βασιλεία τῶν οὐρανῶν. εἴ τις τῶν φιλοχρύσων γράμμασιν ἐντύχοι θησαυρὸν ἐν τόπῳ καταμηνύουσιν, ὁ δὲ περιέχων τὸν θησαυρὸν τόπος πολὺν ἱδρῶτα καὶ πόνον ὑποδεικνύοι τοῖς ἐπιθυμοῦσι τοῦ κτήματος, ἆρα μαλακισθήσεται πρὸς τοὺς πόνους καὶ καταρραθυμήσει τοῦ κέρδους καὶ τὸ μηδένα κάματον ὑπὸ τῆς σπουδῆς εἰσενέγκασθαι γλυκύτερον τοῦ πλούτου ποιήσεται; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλὰ πάντας μὲν πρὸς τοῦτο παρακαλέσει τοὺς φίλους, πανταχόθεν δὲ ὡς ἂν οἷός τε ᾖ τὴν πρὸς τοῦτο βοήθειαν ἑαυτῷ συναγείρας τῷ πλήθει τῆς χειρὸς ἴδιον ποιεῖται τὸν πλοῦτον τὸν κεκρυμμένον. οὗτος ἐκεῖνός ἐστιν ὁ θησαυρός, ἀδελφοί, ὃν καταμηνύει τὸ γράμμα, κέκρυπται δὲ ὑπὸ τῆς ἀσαφείας ὁ πλοῦτος. οὐκοῦν χρησώμεθα καὶ ἡμεῖς οἱ ἐπιθυμηταὶ τοῦ ἀκηράτου χρυσίου τῇ τῶν εὐχῶν πολυχειρίᾳ ὥστε ἡμῖν εἰς τὸ ἐμφανὲς τὸν πλοῦτον ἐλθεῖν καὶ πάντας ἐξ ἴσου διελέσθαι τὸν θησαυρὸν καὶ ὅλον ἕκαστον κτήσασθαι. τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ διαίρεσις ὥστε καὶ εἰς πάντας τοὺς ἀντιποιουμένους διαμερίζεσθαι καὶ πᾶσαν ἑκάστῳ παρεῖναι, μὴ ἐλαττουμένην ἐν τοῖς συμμετέχουσιν. ἐν μὲν γὰρ τῇ τοῦ γηΐνου πλούτου διανομῇ ἀδικεῖ τοὺς ἰσομοιροῦντας ὁ τὸ πλέον παρασπασάμενος· ἐλαττοῖ γὰρ πάντως τὸ μέρος τοῦ συμμετέχοντος ὁ τὸ ἑαυτοῦ πλεονάσας· ὁ δὲ πνευματικὸς πλοῦτος τὸ τοῦ ἡλίου ποιεῖ, καὶ πᾶσι τοῖς βλέπουσιν ἑαυτὸν μερίζων καὶ ὅλος ἑκάστῳ παραγινόμενος. ἐπεὶ οὖν ἴσον ἑκάστῳ τὸ ἐκ τοῦ πόνου κέρδος ἐλπίζεται, ἴση γενέσθω πᾶσι διὰ τῶν εὐχῶν πρὸς τὸ ζητούμενον ἡμῖν ἡ συνεργία. πρῶτον μὲν οὖν αὐτόν φημι ἐγὼ δεῖν τὸν μακαρισμὸν ὅ τί ποτέ ἐστιν ἐννοῆσαι. μακαριότης τίς ἐστιν, κατά γε τὸν ἐμὸν λόγον, περίληψις πάντων τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων, ἧς ἄπεστι τῶν εἰς

1-2 ἐντύχοι γράμμασι VM 3 ἐπιδείκνυσιν VM ὑποδεικνύει W 6 ὑπὸ: ὑπὲρ ΦZ (ut vid) (cf 108, 8 et 11; 112, 14; 151, 23; 157, 18) προσενέγκασθαι VM εἰσένεγκασθαι (sic) sed εἰ e corr ut vid W 7 οὐκ ἔστιν om ΦZ (ut vid) (cf 106, 27) 9 τὴν πρὸς τοῦτο: πρὸς τὴν VM 10 τὸν κεκρυμμένον πλοῦτον Φ 25 διὰ τῶν εὐχῶν πᾶσι Φ 26 συνέργεια v 27 ἐγὼ om ΦZ ὅ τί WΨZ: ὅστις VM 28 τίς om ΦZ 29 ἀπέστην W ἀπέστη M

ἀγαθὴν ἐπιθυμίαν ἡκόντων οὐδέν. γένοιτο δ' ἂν ἡμῖν καὶ ἐκ τῆς τοῦ ἐναντίου παραθέσεως γνωριμώτερον τὸ ἐκ τοῦ μακαρισμοῦ σημαινόμενον· ἐναντίον δὲ τῷ μακαρίῳ τὸ **1197 M.** ἄθλιον. ἀθλιότης οὖν ἐστιν ἡ ἐν τοῖς λυπηροῖς τε καὶ ἀβουλήτοις πάθεσι ταλαιπωρία. μεμέρισται δὲ ἐκ τοῦ ἐναντίου ἡ ἐφ' ἑκατέρου τῶν ἐν αὐτοῖς γινομένων διάθεσις. ὑπάρχει γὰρ τῷ μὲν μακαριζομένῳ τὸ εὐφραίνεσθαι τοῖς προκειμένοις εἰς ἀπόλαυσιν αὐτῷ καὶ ἀγάλλεσθαι· τῷ δὲ ταλανιζομένῳ τὸ ἀνιᾶσθαι τοῖς παροῦσιν αὐτῷ καὶ ἀλγύνεσθαι. τὸ μὲν οὖν μακαριστὸν ἀληθῶς αὐτὸ τὸ θεῖόν ἐστιν. ὅ τί ποτε γὰρ ἂν αὐτὸ ὑποθώμεθα εἶναι μακαριότης ἐστὶν ἡ ἀκήρατος ἐκείνη ζωή, τὸ ἄρρητόν τε καὶ ἀκατανόητον ἀγαθόν, τὸ ἀνέκφραστον κάλλος, ἡ αὐτόχαρις καὶ σοφία καὶ δύναμις, τὸ ἀληθινὸν φῶς, ἡ πηγὴ πάσης ἀγαθότητος, ἡ ὑπερκειμένη τοῦ παντὸς ἐξουσία, τὸ μόνον ἐράσμιον, τὸ ἀεὶ ὡσαύτως ἔχον, τὸ διηνεκὲς ἀγαλλίαμα, ἡ ἀΐδιος εὐφροσύνη, περὶ ἧς πάντα τις ἃ δύναται λέγων λέγει τῶν κατ' ἀξίαν οὐδέν. οὔτε γὰρ ἡ διάνοια καθικνεῖται τοῦ ὄντος, κἄν τι περὶ αὐτοῦ τῶν ὑψηλοτέρων νοῆσαι χωρήσωμεν, οὐδενὶ λόγῳ τὸ νοηθὲν ἐξαγγέλλεται. ἐπειδὴ δὲ ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, δευτέρως ἂν εἴη μακαριστὸν τὸ κατὰ μετουσίαν τῆς ὄντως μακαριότητος ἐν τῷ ὀνόματι τούτῳ γινόμενον. ὥσπερ γὰρ ἐπὶ τῆς σωματικῆς εὐμορφίας τὸ μὲν πρωτότυπον κάλλος ἐν τῷ ζῶντι προσώπῳ ἐστὶ καὶ ὑφεστῶτι, δευτερεύει δὲ μετὰ τοῦτο τὸ κατὰ μίμησιν ἐπὶ τῆς εἰκόνος δεικνύμενον, οὕτως καὶ ἡ ἀνθρωπίνη φύσις, εἰκὼν οὖσα τῆς

13 cf I Cor 1, 24   20-21 cf Gen 1, 26-27

2-3 γνωριμώτερον—σημαινόμενον W(ἐκ om W)ΨZ: γνωριμωτέρα ἡ τοῦ μακαρισμοῦ ἔννοια μακαρισμοῦ σημεῖόν ἐστιν ἡ διηνεκὴς καὶ ἀνέκλειπτος ἐξ ἀρετῶν χαρά VM   3 τῷ μακαρίῳ: τοῦ μακαρισμοῦ VM   6 ἑκατέρω Φ   10 ἀληθῶς μακαριστὸν Φ   ἂν om Ψv   10-11 εἶναι αὐτὸ ὑποθώμεθα W   αὐτὸ εἶναι ὑποθώμεθα Ψv   16-17 τις post δύναται coll VM   17 τῶν κατ' ἀξίαν om ΦZ   οὔτε: οὐδε (sic) W   18 ὄντος WΨZ: λέγοντος VM   20 ἐπειδὴ δὲ: ἐπειδὴ W   ἐπεὶ δὲ W²Ψv   22 τοῦτο Φ (τούτω W²)   24 τε post ζῶντι add et καὶ ὑφεστῶτι post ζῶντι τε coll Φ   25 μετὰ τοῦτο τὸ ΦZ (ut vid): τοῦτο Ψ τούτου τὸ v

ὑπερκειμένης μακαριότητος, καὶ αὐτὴ τῷ ἀγαθῷ κάλλει χαρακτηρίζεται ὅταν ἐφ' ἑαυτῆς δεικνύῃ τὰς τῶν μακαρίων χαρακτήρων ἐμφάσεις. ἀλλ' ἐπειδὴ ὁ τῆς ἁμαρτίας ῥύπος τὸ ἐπὶ τῆς εἰκόνος κάλλος ἠχρείωσεν, ἦλθεν ὁ ἐκνίπτων ἡμᾶς τῷ ἰδίῳ ὕδατι τῷ ζῶντί τε καὶ ἁλλομένῳ εἰς ζωὴν αἰώνιον, ὥστε ἡμᾶς ἀποθεμένους τὸ ἐξ ἁμαρτίας αἶσχος πάλιν κατὰ τὴν μακαρίαν ἀνακαινισθῆναι μορφήν. καὶ καθάπερ ἐπὶ τῆς ζωγραφικῆς τέχνης εἴποι ἄν τις πρὸς τοὺς ἀπείρους ὁ ἐπιστήμων ἐκεῖνο καλὸν εἶναι τὸ πρόσωπον τὸ ἐκ τοιῶνδε τῶν τοῦ σώματος μορίων συγκείμενον, ᾧ κόμη τε τοιάδε καὶ ὀφθαλμῶν κύκλοι καὶ ὀφρύων περιγραφαὶ καὶ παρειῶν θέσις καὶ τὰ καθ' ἕκαστον πάντα δι' ὧν συμπληροῦται ἡ εὐμορφία, οὕτω καὶ ὁ τὴν ἡμετέραν πρὸς τὴν τοῦ μόνου μακαρίου μίμησιν ἀναζωγραφῶν ψυχὴν τὰ καθ' ἕκαστον τῶν εἰς μακαρισμὸν συντεινόντων ὑπογράψει τῷ λόγῳ, καί φησιν ἐν πρώτοις, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἀλλὰ τί κέρδος ἐκ τῆς μεγαλοδωρεᾶς γενήσεται μὴ φανερωθείσης ἡμῖν τῆς ἐγκειμένης διανοίας τῷ λόγῳ; καὶ γὰρ ἐπὶ τῆς ἰατρικῆς πολλὰ τῶν τιμίων καὶ δυσπορίστων φαρμάκων ἄχρηστα τοῖς ἀγνοοῦσι καὶ ἀνόνητα μένει ἕως ἂν εἰς ὅ τι χρήσιμον ἕκαστον τούτων ἐστὶ παρὰ τῆς τέχνης ἀκούσωμεν. τί οὖν ἐστι τὸ πτωχεῦσαι τῷ πνεύματι δι' οὗ
1200 M. περιγίνεται τὸ τῆς βασιλείας τῶν οὐρανῶν ἐγκρατῆ γενέσθαι; δύο πλούτους παρὰ τῆς γραφῆς μεμαθήκαμεν, ἕνα σπουδαζόμενον καὶ ἕνα κατακρινόμενον. σπουδάζεται μὲν οὖν ὁ τῶν ἀρετῶν πλοῦτος, διαβάλλεται δὲ ὁ ὑλικός τε καὶ γήϊνος, ὅτι ὁ μὲν τῆς ψυχῆς γίνεται κτῆμα, οὗτος δὲ πρὸς τὴν τῶν

5 cf Ioh 7, 38; 4, 14

2 ἐπιδεικνύῃ VM δεικνύῃ ex -ει corr W² δεικνύει v 3 ἐπεὶ VM 4 τῆς om v 8 τις om Φ 9 τῶν om VM 10 σώματος: προσώπου ΦZ ᾧ: οὗ ΦZ τοιάδε WΨZ: τοιάδε καὶ τὸ μέτωπον λεῖον VM (πλεῖον M) 11 θέσεις MΨ 12 τὰ om VM 14 ψυχὴ v τὸν post εἰς add VW 15 ὑπογράφει Φv 18 ἐκ om Φ 20 τε post τιμίων add Φ 21 ἀγνοοῦσι W (sed o pr e corr W) ΨZ: νοσοῦσι VM 24 ἐγκρατεῖ WM 26 οὖν om Ψv

αἰσθητηρίων ἀπάτην ἐπιτηδείως ἔχει. διὸ κωλύει τοῦτον θησαυρίζειν ὁ κύριος, ὡς εἰς βρῶσιν σητῶν καὶ εἰς ἐπιβουλὴν τῶν τοιχωρυχούντων ἐκκείμενον. κελεύει δὲ περὶ τὸν τῶν ὑψηλῶν πλοῦτον τὴν σπουδὴν ἔχειν, οὗ ἡ φθαρτικὴ δύναμις οὐ προσάπτεται. σῆτα δὲ καὶ κλέπτην εἰπὼν τὸν λυμεῶνα τῶν τῆς ψυχῆς θησαυρῶν ἐνεδείξατο. εἰ οὖν ἀντιδιαστέλλεται ἡ πενία τῷ πλούτῳ, πάντως κατὰ τὴν ἀναλογίαν καὶ διπλῆν ἔστι διδαχθῆναι πενίαν, τὴν μὲν ἀπόβλητον, τὴν δὲ μακαριζομένην. ὁ μὲν οὖν σωφροσύνης πτωχεύων ἢ τοῦ τιμίου κτήματος τῆς δικαιοσύνης ἢ τῆς σοφίας ἢ τῆς φρονήσεως ἢ ἄλλου τινὸς τῶν πολυτελῶν κειμηλίων πένης τε καὶ ἀκτήμων καὶ πτωχὸς εὑρισκόμενος ἄθλιος τῆς πενίας καὶ ἐλεεινὸς τῆς τῶν τιμίων ἀκτημοσύνης· ὁ δὲ πάντων τῶν κατὰ κακίαν νοουμένων ἑκουσίως πτωχεύων καὶ οὐδὲν τῶν διαβολικῶν κειμηλίων ἐν τοῖς ἰδίοις ταμείοις ἔχων ἀπόθετον ἀλλὰ τῷ πνεύματι ζέων καὶ διὰ τούτου τὴν τῶν κακῶν πενίαν ἐν ἑαυτῷ θησαυρίζων εἴη ἂν οὗτος ἐν τῇ μακαριζομένῃ πτωχείᾳ ὑπὸ τοῦ λόγου δεικνύμενος, ἧς ὁ καρπὸς οὐρανῶν βασιλεία ἐστίν.

Ἀλλ᾽ ἐπανέλθωμεν πάλιν ἐπὶ τὴν ἐργασίαν τοῦ θησαυροῦ καὶ μὴ ἀποστῶμεν τῷ μεταλλευτικῷ λόγῳ τὸ κεκρυμμένον ἀνακαλύπτοντες. Μακάριοι, φησίν, οἱ πτωχοὶ τῷ πνεύματι. εἴρηται μὲν τρόπον τινὰ τοῦτο καὶ ἐν τοῖς ἔμπροσθεν καὶ νυνὶ πάλιν εἰρήσεται ὅτι τέλος τοῦ κατ᾽ ἀρετὴν βίου ἐστὶν ἡ πρὸς τὸ θεῖον ὁμοίωσις. ἀλλὰ μὴν τὸ ἀπαθὲς καὶ ἀκήρατον ἐκφεύγει παντελῶς τὴν παρὰ ἀνθρώπων μίμησιν. οὐδὲ γάρ ἐστι δυνατὸν πάντῃ τὴν ἐμπαθῆ ζωὴν ὁμοιωθῆναι πρὸς τὴν τῶν παθῶν ἀνεπίδεκτον φύσιν. εἰ οὖν μόνον τὸ

1-3 Matth 6, 19-20 16 cf Rom 12, 11

1 τοῦτον κωλύει VM 3 ἐγκείμενον ΦZ (ut vid) 16 ζῶν ΦZ τούτων VM τούτου e τούτό (sic) ut vid corr W² 17 ἐν ante ἑαυτῷ om MΨv 18-19 βασιλεία οὐρανῶν VMΨv 21 καὶ μή: μηδὲ VM μὴ W 22 γάρ ante φησίν add VM 23 μὲν ΨZ: μὲν ἤδη Φ (ἤδει M) 24 νῦν Ψv ἐστιν βίου VM ἐστὶν om W 25 τὸν θεὸν VMZ (ut vid) 26 παντελῶς: πάντῃ WΨv πάντως C (cf 91, 23)

θεῖον μακάριον, καθὼς ὁ ἀπόστολος ὀνομάζει, ἡ δὲ τοῦ μακαρισμοῦ κοινωνία τοῖς ἀνθρώποις διὰ τῆς πρὸς τὸν θεόν ἐστιν ὁμοιώσεως, ἡ δὲ μίμησις ἄπορος, ἄρα ἀνέφικτός ἐστιν ἡ μακαριότης τῇ ἀνθρωπίνῃ ζωῇ. ἀλλ᾽ ἔστιν ἃ τῆς θεότητος δυνατὰ πρόκειται τοῖς βουλομένοις εἰς μίμησιν. τίνα οὖν ἐστι ταῦτα; δοκεῖ μοι πτωχείαν πνεύματος τὴν ἑκούσιον ταπεινοφροσύνην ὀνομάζειν ὁ λόγος. ταύτης δὲ ὑπόδειγμα τὴν τοῦ θεοῦ πτωχείαν ὁ ἀπόστολος ἡμῖν λέγων προδείκνυσιν, ὃς δι᾽ ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. ἐπεὶ οὖν τὰ ἄλλα πάντα ὅσα περὶ τὴν θείαν καθορᾶται φύσιν ὑπερπίπτει τὸ μέτρον τῆς ἀνθρωπίνης βραχύτητος, ἡ δὲ ταπεινότης συμφυής τις ἡμῖν ἐστι καὶ σύντροφος τοῖς χαμαὶ ἐρχομένοις καὶ ἐκ γῆς τὴν σύστασιν ἔχουσι καὶ εἰς γῆν καταρρέουσιν, ἐν τῷ κατὰ φύσιν σὺ καὶ δυνατῷ τὸν θεὸν μιμησάμενος τὴν μακαρίαν καὶ αὐτὸς ὑπέδυς μορφήν. καὶ μηδεὶς ἄπονον οἰέσθω καὶ μετὰ ῥᾳστώνης
1201 M. ἐκποριζόμενον τὸ τῆς ταπεινοφροσύνης κατόρθωμα. τὸ ἐναντίον μὲν οὖν παντὸς οὑτινοσοῦν τῶν κατ᾽ ἀρετὴν ἐπιτηδευομένων τὸ τοιοῦτόν ἐστιν ἐπιπονώτερον. διὰ τί; ὅτι καθεύδοντος τοῦ ἀνθρώπου τοῦ τὰ καλὰ σπέρματα δεξαμένου τὸ κεφάλαιον τῆς ἐναντίας σπορᾶς παρὰ τοῦ ἐχθροῦ τῆς ζωῆς ἡμῶν τὸ τῆς ὑπερηφανίας ἐνερριζώθη ζιζάνιον. δι᾽ ὧν γὰρ ἐκεῖνος ἑαυτὸν εἰς γῆν κατέρραξεν, τῷ αὐτῷ τρόπῳ τὸ δείλαιον γένος τὸ ἀνθρώπινον πρὸς τὸ κοινὸν πτῶμα ἑαυτῷ συγκατέβαλεν, καὶ οὐδέν ἐστιν ἄλλο τῆς φύσεως ἡμῶν τοιοῦτον κακὸν ὡς τὸ δι᾽ ὑπερηφα-

1 cf I Tim 6, 15 8 II Cor 8, 9 13-14 cf Gen 3, 19 19-22 cf Matth 13, 25 23 cf Is 14, 12; Luc 10, 18

1 ὁ ἀπόστολος ὀνομάζει WΨZ: φησιν ὁ ἀπόστολος VM 3 ἄρα: cf 114, 17; 140, 7 5 πρόκειται post βουλομένοις coll Ψv 7 ὁ λόγος ὀνομάζειν VM 8 προδείκνυσι(ν) λέγων Φ (προσδ- W) 11 τῷ μέτρῳ Ψv 12 βραχύτητος VMZ (ut vid): παχύτητος W φύσεως Ψv τις om VM 14 ὁ ante ἐν add VM σὺ: om VM σοι W 15 καὶ αὐτὸς ΦZ: αὐτὸς Ψv 16 ὑπέδυ VM ἄπονον WΨZ: ἀπόνοιαν VM οἰέσθω: ἡγείσθω VM 22 ἐρριζώθη Ψv 24 τὸ ἀνθρώπινον: τῶν ἀνθρώπων Φ

νίας ἐγγινόμενον νόσημα. ἐπεὶ οὖν ἐμπέφυκέ πως τὸ κατὰ τὴν ἔπαρσιν πάθος παντὶ σχεδὸν τῷ κοινωνοῦντι τῆς ἀνθρωπίνης φύσεως, διὰ τοῦτο ἐντεῦθεν τῶν μακαρισμῶν ὁ κύριος ἄρχεται, οἷον ἀρχέγονόν τι κακὸν ἐκβαλῶν ἐκ τῆς ἕξεως ἡμῶν τὴν ὑπερηφανίαν ἐν τῷ συμβουλεύειν μιμήσασθαι τὸν ἑκουσίως πτωχεύσαντα, ὅς ἐστιν ἀληθῶς μακάριος, ἵνα, ἐν ᾧ δυνάμεθα καθὼς ἂν οἷοί τε ὦμεν ὁμοιωθέντες ἐκ τοῦ πτωχεῦσαι κατὰ προαίρεσιν, καὶ τὴν τοῦ μακαρισμοῦ κοινωνίαν ἐφελκυσώμεθα. Τοῦτο γὰρ φρονείσθω, φησίν, ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ᾿ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὄντων ἢ τὸ εἰς κοινωνίαν τῆς πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων ἐθελοντὶ τὴν τῆς δουλείας μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσι γίνεται· ὁ πάσης τῆς κτίσεως κύριος ἐν σπηλαίῳ κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῷ καταλύματι, ἀλλ᾿ ἐν τῇ φάτνῃ τῶν ἀλόγων ζῴων παραρριπτεῖται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον, καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου πτωχείας τὸ μέτρον. ἡ ζωὴ θανάτου γεύεται· ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς ζωῆς τῶν ὄντων κύριος ἐπὶ τῇ ψήφῳ τοῦ δικάζοντος γίνεται· ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας. πρὸς τοῦτό σοι, φησί, τὸ ὑπόδειγμα τὸ τῆς ταπεινοφροσύνης βλεπέτω μέτρον.

9 Philipp 2, 5-7 15 I Tim 6, 15 18-20 cf Luc 2, 7; Is 1, 3 27 Ioh 13, 15

1 γινόμενον Ψ ἐγγινόμενον νόσημα om v (cf 97, 18; 129, 19) 4 ἐκβάλλον V ἐκβάλλων Mv ἐκβαλὼν WΨ correxi 12 τοῦ om VM 13 ὄντων: ὅλων VMZ 14 ἑκουσίως WZ : om VMΨv 16 ἐθελοντὴς V ἐθελόντως Ψv 17 πάσης om WΨv (cf 89, 14) 20 ζῴων om ΦZ (cf 96, 21; 97, 27; 107, 3; Or dom 10, 18-19) παραρίπτεται Φ (-ρρι- W) 27 ἀποθεῖται VM

Τάχα δέ μοι δοκεῖ καλῶς ἔχειν καὶ τὴν ἀλογίαν τοῦ τοιούτου διασκοπῆσαι πάθους ὡς ἂν εὐκατόρθωτος ἡμῖν ὁ μακαρισμὸς γένοιτο, σὺν εὐμαρείᾳ πολλῇ καὶ ῥᾳστώνῃ τῆς ταπεινοφροσύνης κατορθουμένης. καθάπερ γὰρ οἱ ἐπιστήμονες τῶν ἰατρῶν, τὸ νοσοποιὸν αἴτιον προεξελόντες, ῥᾷον ἐπικρατοῦσι τοῦ πάθους, οὕτω καὶ ἡμεῖς τὴν χαυνότητα τῶν τυφουμένων τῷ λογισμῷ καταστείλαντες εὐεπίβατον ἑαυτοῖς
1204 M. τὴν τῆς ταπεινοφροσύνης ὁδὸν καταστήσωμεν. πόθεν οὖν ἄν τις μᾶλλον ἐπιδείξειε τοῦ τύφου τὸ μάταιον; πόθεν ἄλλοθεν ἢ ἐκ τοῦ δεῖξαι τὴν φύσιν ἥτις ἐστίν; ὁ γὰρ πρὸς ἑαυτὸν καὶ μὴ τὰ περὶ αὐτὸν βλέπων οὐκ ἂν εὐκόλως εἰς τὸ τοιοῦτον ἐμπέσοι πάθος. τί οὖν ἐστιν ἄνθρωπος; βούλει τὸν σεμνότερον καὶ τιμιώτερον εἴπω τῶν λόγων; ἀλλ' ὁ κοσμῶν τὰ ἡμέτερα καὶ πρὸς τὸ κομπωδέστερον διασκευάζων τὴν ἀνθρωπίνην εὐγένειαν ἐκ πηλοῦ γενεαλογεῖ τὴν φύσιν, καὶ ἡ εὐγένεια καὶ ἡ σεμνότης τοῦ ὑπερηφάνου τὸ συγγενὲς πρὸς τὴν πλίνθον ἔχει. εἰ δὲ τὴν προσεχῆ τε καὶ πρόχειρον τῆς γενέσεως σύστασιν εἰπεῖν ἐθέλοις, ἄπαγε, μὴ φθέγξῃ περὶ τούτου· μὴ γρύξῃς, μὴ ἀνακαλύψῃς, καθώς φησιν ὁ νόμος, ἀσχημοσύνην πατρὸς καὶ μητρός σου· μὴ δημοσιεύσῃς τῷ λόγῳ τὰ λήθης ἄξια καὶ βαθείας σιγῆς. εἶτα οὐκ ἐρυθριᾷς, ὁ γήϊνος ἀνδριάς, ὁ μετ' ὀλίγον κόνις, ὁ πομφόλυγος δίκην ὠκύμορον ἐν σεαυτῷ περιέχων τὸ φύσημα, πλήρης ὑπερηφανίας γινόμενος καὶ περιφλεγμαίνων τῷ τύφῳ καὶ τῷ ματαίῳ φρονήματι ἐξογκῶν τὴν διάνοιαν; οὐχ ὁρᾷς εἰς ἀμφότερα τῆς

15 cf Gen 2, 7 et Graecorum fabulam de Prometheo hominum factore   19 Lev 18, 7

1 ἀλογίαν WΨZ: ἀναλογίαν VM (sed α pr in init col deest M)   3 εὐμαρία VM   5 νοσοποιοῦν VM   7 αὐτοῖς VM   8 καταστήσομεν VM   10 ἥτις: τίς VM   11 αὐτὸν: αυτὸν (sic) V   ἑ (sic) sscr W   αὐτὸν v   εὐκόλως ΦZ: εὐλόγως Ψv   12 τὸν: σοι τὸ VM   τὸ Ψ   12-13 τιμιώτερον καὶ σεμνότερον VM   14 διασκευάζων MΨZ: διασκεδάζων VW   16 τοῦ—συγγενὲς: σοι τῷ ὑπερηφανοῦντι γενεαλογεῖται τὸ συγγενῶς VM   τὸ συγγενὲς: τίς τὸ συγγενῶς W   πλῆθον V   πλῆνθον W   πλῖνθον M   17 ἔχειν WM   18 σύστασιν ΦZ: om Ψv   19 ὁ νόμος φησίν VM   20 σου om Φ   22 ὠκυμορώτερον VM   24 γενόμενος WM

ζωῆς τοῦ ἀνθρώπου τὰ πέρατα, καὶ ὅπως ἄρχεται καὶ εἰς ὅ τι λήγει; ἀλλὰ γαυριᾷς τῇ νεότητι καὶ πρὸς τὸ ἄνθος τῆς ἡλικίας βλέπεις καὶ ἐγκαλλωπίζῃ τῇ ὥρᾳ, ὅτι σοι σφριγῶσιν αἱ χεῖρες πρὸς κίνησιν, καὶ κοῦφοι πρὸς τὸ ἅλμα οἱ πόδες, καὶ περισοβεῖται ταῖς αὔραις ὁ βόστρυχος, καὶ τὴν παρειὰν ὑπογράφει ὁ ἴουλος, καὶ ὅτι σοι ἡ ἐσθὴς τῇ βαφῇ τῆς πορφύρας περιανθίζεται, καὶ πεποίκιλταί σοι τὰ ἐκ σηρῶν ὑφάσματα, πολέμοις ἢ θήραις ἤ τισιν ἱστορίαις πεποικιλμένα; ἢ τάχα καὶ πρὸς τὰ πέδιλα βλέπεις ἐπιμελῶς ἐν τῷ μέλανι στίλβοντα καὶ περιέργως ταῖς ἀπὸ τῶν ῥαφίδων γραμμαῖς ἐπιπρέποντα; πρὸς ταῦτα βλέπεις, πρὸς δὲ σεαυτὸν οὐχ ὁρᾷς; δείξω σοι ὥσπερ ἐν κατόπτρῳ τίς εἶ καὶ οἷος εἶ.

Οὐκ εἶδες ἐν πολυανδρίῳ τὰ τῆς φύσεως ἡμῶν μυστήρια; οὐκ εἶδες τὴν ἐπάλληλον τῶν ὀστέων σωρείαν, κρανία σαρκῶν γεγυμνωμένα, φόβερόν τι καὶ εἰδεχθὲς ἐν διακένοις δεδορκότα τοῖς ὄμμασιν; εἶδες στόματα σεσηρότα καὶ τὰ λοιπὰ τῶν μελῶν πρὸς τὸ συμβὰν πεφορημένα; εἰ ἐκεῖνα εἶδες σεαυτὸν ἐν ἐκείνοις τεθέασαι. ποῦ τοῦ παρόντος ἄνθους τὰ σύμβολα; ποῦ ἡ εὔχροια τῆς παρειᾶς; ποῦ τὸ ἐπὶ τοῦ χείλους ἄνθος; ποῦ τὸ βλοσυρὸν ἐν τοῖς ὄμμασι κάλλος τῇ περιβολῇ τῶν ὀφρύων ὑπολαμπόμενον; ποῦ ἡ εὐθεῖα ῥὶς ἡ τῷ κάλλει τῶν παρειῶν μεσιτεύουσα; ποῦ αἱ ἐπαυχένιοι κόμαι; ποῦ οἱ περικροτάφιοι βόστρυχοι; ποῦ αἱ τοξαζόμεναι χεῖρες, οἱ ἱππαζόμενοι πόδες, ἡ πορφύρα, ἡ βύσσος, ἡ χλανίς, ἡ ζώνη, τὰ πέδιλα, ὁ ἵππος, ὁ δρόμος, τὸ φρύαγμα, πάντα δι' ὧν σοι νῦν ὁ τῦφος αὔξεται; ποῦ ταῦτα ἐν ἐκείνοις, εἰπέ,

11 sqq cf Menand Fr 538 (Kock)

2 καταλήγει Φ 3 ὑπερσφριγῶσιν Ψv 4 χ[illegible]ραις W χεῖραι M κοῦφοι—ἅλμα ΦΨΖ: πρὸς τὸ ἅλμα κούφως ἀναπηδῶσιν C 5 περισοβεῖ Ψv 7 ὑπερανθίζεται Ψv σηρικῶν VM (cf ad Or dom 51, 20) 10 ἐπιτέρποντα Ψv 11 σαυτὸν VM 12 κατόπτῳ VK εἶ post οἷος om W 15 ἐν om VM 16 verba καὶ (om A) οὖλα (ἀλλὰ A) γυμνὰ σαρκῶν καὶ (καὶ om C) εἰδεχθῶς προφαινόμενα post σεσηρότα add AC 18 σαυτὸν VM ποῦ ΦΨΖ: ἐκεῖ μοι δεῖξον C 23 ἐνδιακείμενοι post περικροτάφιοι add VM

ὑπὲρ ὧν νῦν ἐπαίρῃ καὶ μεγαλοφρονεῖς; ποῖον οὕτως ἀνυπόστατον ὄναρ; ποῖα τοιαῦτα ἐξ ὕπνου φαντάσματα; τίς οὕτως
1205 M. ἀδρανὴς σκιὰ τὴν ἁφὴν ὑποφεύγουσα ὡς τὸ τῆς νεότητος ὄναρ ὁμοῦ τε φαινόμενον καὶ εὐθὺς παριπτάμενον; ταῦτά μοι πρὸς τοὺς ἐν νεότητι διὰ τὸ ἀτελὲς τῆς ἡλικίας ἀφραίνοντας. τί δ' ἄν τις εἴποι περὶ τῶν ἤδη καθεστηκότων, οἷς ἡ μὲν ἡλικία βέβηκεν, ἀστατεῖ δὲ τὸ ἦθος, καὶ ἡ νόσος τῆς ὑπερηφανίας αὔξεται; ὄνομα δὲ τῇ τοιαύτῃ ἀρρωστίᾳ τοῦ ἤθους φρόνημα τίθενται· ἀρχὴ δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἡ κατ' αὐτὴν δυναστεία ἡ τῆς ὑπερηφανίας ὑπόθεσις γίνεται. ἢ γὰρ ἐν αὐτῇ τοῦτο πάσχουσιν ἢ πρὸς αὐτὴν ἑτοιμάζονται ἢ τὰ περὶ αὐτῆς διηγήματα καὶ παυσαμένην ἤδη πολλάκις ἀναρριπίζει τὴν νόσον. καὶ τίς λόγος τοιοῦτος ὡς ἐντὸς γενέσθαι τῆς ἀκοῆς αὐτῶν τῆς ὑπὸ τῆς φωνῆς τῶν κηρύκων προβεβυσμένης; τίς πείσει τοὺς οὕτως ἔχοντας ὅτι τῶν ἐπὶ σκηνῆς πομπευόντων οὐδ' ὁτιοῦν διαφέρουσιν; καὶ γὰρ ἐκείνοις καὶ πρόσωπόν τι ἐκ τέχνης τῶν γλαφυρῶν ἐπιβέβληται καὶ ἁλουργὶς χρυσόπαστος καὶ ἐπὶ ἅρματος ἡ πομπή· καὶ ὅμως οὐδεμία νόσος αὐτοῖς ὑπερηφανίας ἐκ τῶν τοιούτων εἰσέρχεται, ἀλλ' οἷοι πρὸ τῆς σκηνῆς ἦσαν τὸ φρόνημα ἴσην ἐν τῇ ψυχῇ τὴν ἕξιν καὶ ἐπὶ τῆς πομπῆς διεσώσαντο καὶ μετὰ τοῦτο οὐκ ἀνιῶνται, τοῦ τε ἅρματος ἀποβάντες καὶ τὸ σχῆμα περιαιρούμενοι. οἱ δὲ διὰ τῆς ἀρχῆς πομπεύοντες ἐν τῇ τοῦ βίου σκηνῇ, οὔτε τὸ πρὸ βραχέος οὔτε τὸ μετὰ βραχὺ λογιζόμενοι, καθάπερ τῷ φυσήματι αἱ πομφόλυγες περιτείνονται, τὸν αὐτὸν τρόπον καὶ οὗτοι περιογκοῦνται τῇ μεγαλοφωνίᾳ τοῦ κήρυκος· ἀλλοτρίου τινὸς προσωπείου μορφὴν ἑαυτοῖς περιπλάσσουσιν, ἐξαλλάσσοντες τὴν κατὰ φύσιν τοῦ προσώπου θέσιν εἰς τὸ ἀμειδὲς καὶ ἐπίφοβον, φθόγγος τε αὐτοῖς ἐπινοεῖται τραχύτερος, πρὸς τὴν τῶν ἀκουόντων κατάπληξιν ἐπὶ τὸ θηριῶδες μετατυπούμενος. οὐκέτι ἐν τοῖς ἀνθρωπίνοις μένουσιν ὅροις ἀλλ' εἰς τὴν θείαν

1 μέγα φρονεῖς Φ 5-6 ἀφρενοῦντας Φ 9 τὸ φρόνημα VM 10 ἡ om VM 16 καὶ post γὰρ add VM 19 ὑπεισέρχεται VM 20 ἐν: ἐπὶ Ψv 27 καὶ ante ἀλλοτρίου add VMZv προσώπου VM 32 ἐν: ἐπὶ VM ὅροις: μέτροις VM

δύναμίν τε καὶ ἐξουσίαν ἑαυτοὺς εἰσποιοῦσιν. ζωῆς γὰρ καὶ θανάτου κύριοι εἶναι πιστεύουσιν, ὅτι τῶν ἐν αὐτοῖς κρινομένων τῷ μὲν τὴν σώζουσαν νέμουσι ψῆφον, τὸν δὲ θανάτῳ καταδικάζουσιν, καὶ οὐδὲ τοῦτο βλέπουσιν, τίς ἀληθῶς τῆς ἀνθρωπίνης ζωῆς κύριος ὁ καὶ τὴν ἀρχὴν τοῦ εἶναι καὶ τὸ τέλος ὁρίζων. καίτοι γε τοῦτο μόνον ἱκανὸν ἦν εἰς καταστολὴν τῆς χαυνότητος, τὸ πολλοὺς ἰδεῖν τῶν ἀρχόντων ἐν αὐτῇ τῇ τῆς ἀρχῆς σκηνῇ ἐκ μέσων ἁρπασθέντας τῶν θρόνων καὶ ἐπὶ τοὺς τάφους ἐκκομισθέντας, ἐφ᾽ ὧν ὁ θρῆνος τὰς τῶν κηρύκων φωνὰς διεδέξατο.

Πῶς οὖν ἀλλοτρίας ζωῆς κύριος ὁ τῆς ἰδίας ἀλλότριος; καὶ οὗτος τοίνυν εἰ πτωχεύει τῷ πνεύματι, πρὸς τὸν δι᾽ ἡμᾶς ἑκουσίως πτωχεύσαντα βλέπων καὶ πρὸς τὸ τῆς φύσεως ὁμότιμον καθορῶν, μηδὲν ἐκ τῆς ἠπατημένης ἐκείνης περὶ τὴν ἀρχὴν τραγῳδίας εἰς τὸ ὁμογενὲς ἐξυβρίζοι, μακαριστὸς ἀληθῶς τῆς ταπεινοφροσύνης τῆς προσκαίρου τὴν τῶν οὐρανῶν βασιλείαν ἀνταλλαξάμενος. μὴ ἀποβάλῃς, ἀδελφέ,
1208 M. καὶ τὸν ἕτερον τῆς πτωχείας λόγον, ὃς τοῦ κατ᾽ οὐρανὸν πλούτου πρόξενος γίνεται. Πώλησόν σου, φησί, πάντα τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. καὶ γὰρ ἡ τοιαύτη πτωχεία δοκεῖ μοι μὴ ἀπᾴδειν τῆς μακαριζομένης πτωχείας. Ἰδοὺ πάντα ὅσα εἴχομεν ἀφέντες ἠκολουθήσαμέν σοι, φησὶ πρὸς τὸν δεσπότην ὁ μαθητής· τί ἄρα ἔσται ἡμῖν; καὶ τίς ἡ ἀπόκρισις; Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. βούλει νοῆσαι τίς ὁ πτωχεύων τῷ πνεύματι; ὁ ἀνταλλαξάμενος τὸν τῆς ψυχῆς πλοῦτον τῆς σωματικῆς εὐπορίας, ὁ διὰ τὸ πνεῦμα πτωχεύων, ὁ τὸν γήϊνον πλοῦτον

19 Matth 19, 21 23 Matth 19, 27

1 μεταποιοῦσιν Φ 2 εἶναι κύριοι VM ἐν αὐτοῖς: ἑαυτοῖς VW 3 τῷ: τῶν V τὸ W ἀπονέμουσι VM νέμειν W 4 ὁ post τίς add C ὁ ante τῆς add VM 8 ἀναρπασθέντας W 12 οὗτος VWORZ: οὕτως MK πτωχεύοι VM 13 πτωχεύσαντα ἑκουσίως Ψv 15 τὴν om v ἐξυβρίζων VM 16 ὁ ante τῆς pr add C τῆς προσκαίρου ταπεινοφροσύνης Φ 19 πάντα ΨZ: om Φ 21-22 δοκεῖ μοι πτωχεία VM

οἷόν τι βάρος ἀποσεισάμενος, ἵνα μετάρσιός τε καὶ διαέριος ἄνω φέρηται, καθώς φησιν ὁ ἀπόστολος, ἐπὶ νεφέλης συμμετεωροπορῶν τῷ θεῷ. βαρύ τι χρῆμα τὸ χρυσίον ἐστίν, βαρεῖα πᾶσα ἡ σπουδαζομένη κατὰ τὸν πλοῦτον ὕλη· κοῦφον δέ τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή. ἀλλὰ μὴν ἀντίκεινται ταῦτα ἀλλήλοις, τὸ βάρος καὶ ἡ κουφότης. οὐκοῦν ἀμήχανόν τινα γενέσθαι κοῦφον τὸν τῷ βάρει τῆς ὕλης ἑαυτὸν προσηλώσαντα. εἰ οὖν χρὴ τοῖς ἄνω προσβῆναι, τῶν κάτω καθελκόντων πτωχεύσωμεν ἵνα ἐν τοῖς ἄνω γενώμεθα. τίς δὲ ὁ τρόπος ὑφηγεῖται ἡ ψαλμῳδία· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὁ τῷ πτωχῷ κοινωνήσας εἰς τὴν μερίδα τοῦ δι' ἡμᾶς πτωχεύσαντος ἑαυτὸν καταστήσει. ἐπτώχευσεν ὁ κύριος, μὴ φοβηθῇς μηδὲ σὺ τὴν πτωχείαν. ἀλλὰ βασιλεύει πάσης τῆς κτίσεως ὁ δι' ἡμᾶς πτωχεύσας. οὐκοῦν ἐὰν πτωχεύσαντι συμπτωχεύσῃς, καὶ βασιλεύοντι πάντως συμβασιλεύσεις. Μακάριοι γὰρ οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, ἧς καὶ ἡμεῖς ἀξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Β'

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Οἱ διὰ κλίμακός τινος τοῖς ὑψηλοτέροις προσβαίνοντες, ὅταν τῆς πρώτης ἐπιβῶσι βαθμίδος, δι' ἐκείνης ἐπὶ τὴν ὑπερκειμένην ἐπαίρονται, καὶ πάλιν ἡ δευτέρα προσάγει τῇ τρίτῃ τὸν ἀνιόντα, καὶ αὕτη πρὸς τὴν ἐφεξῆς, καὶ αὕτη πρὸς τὴν μεθ' ἑαυτήν. καὶ οὕτως ὁ ἀνιὼν ἀπὸ τοῦ ἐν ᾧ ἐστιν,

2 I Thess 4, 17   10 Ps 111, 9

1 τε om VM   ἀέριος Φ   3 τὸ om VM   5 ἀντίκειται Ψν   7 τὸν om Ψν   8 κάτω WΨZ: om VM   16 πάντως WCSEZ: om VMΨν (cf 102, 28 al)   οἱ πτωχοὶ WΨZ: φησιν οἱ πτωχοὶ VM   19 ἐτελεώθη λόγος α' post ἀμήν add Z   20 λόγος β' E: ὁμιλία β' WACS (εἰς τοὺς μακαρισμούς add W   post γῆν 21 coll AS)   om VMΨ (sed λόγος κη' in marg scr K)   ἑξῆς λόγος β' Z   21 τοῦ αὐτοῦ ante μακάριοι add A   24 αἴρονται Ψν 25 αὕτη pr post ἐφεξῆς coll VM   25-26 αὕτη alt—ἑαυτήν: πρὸς τὴν μετ' αὐτὴν ἐκείνη Φ   καὶ ante οὕτως om VM

ἀεὶ πρὸς τὸ ὑπερκείμενον ἀνυψούμενος, ἐπὶ τὸ ἀκρότατον φθάνει τῆς ἀναβάσεως. πρὸς τί βλέπων ἐντεῦθεν προοιμιάζομαι; δοκεῖ μοι βαθμίδων δίκην ἡ τῶν μακαρισμῶν διακεῖσθαι τάξις, εὐεπίβατον τῷ λόγῳ δι' ἀλλήλων ποιοῦσα τὴν ἄνοδον. τὸν γὰρ τῷ πρώτῳ διὰ τῆς διανοίας ἐπιβεβηκότα μακαρισμῷ δι' ἀναγκαίας τινὸς τῆς τῶν νοημάτων ἀκολουθίας ὁ μετ' ἐκεῖνον ἐκδέχεται, κἂν ὑποξενίζειν δοκῇ παρὰ τὴν πρώτην ὁ λόγος. μὴ γὰρ εἶναι δυνατὸν ἴσως ὁ ἀκούων ἐρεῖ, καθάπερ ἐν βαθμῶν διαθέσει, μετὰ τὴν τῶν οὐρανῶν βασιλείαν τῆς 1209 M. γῆς τὴν κληρονομίαν καταλαμβάνεσθαι· ἀλλ' εἴπερ ἔδει τῇ φύσει τῶν ὄντων τὸν λόγον ἕπεσθαι, τοῦ οὐρανοῦ τὴν γῆν ἀκολουθότερον ἦν προτετάχθαι, ὡς ἐντεῦθεν ἡμῖν ἐπ' ἐκεῖνον ἐσομένης τῆς ἀναβάσεως. ἀλλ' εἰ πτερωθείημέν πως τῷ λόγῳ καὶ ὑπὲρ τὰ νῶτα τῆς οὐρανίας ἁψῖδος σταίημεν, εὑρήσομεν ἐκεῖ τὴν ὑπερουράνιον γῆν τὴν εἰς κληρονομίαν τοῖς κατ' ἀρετὴν βεβιωκόσιν ἀποκειμένην, ὡς μὴ δοκεῖν ἡμαρτῆσθαι τὴν τάξιν τῆς τῶν μακαρισμῶν ἀκολουθίας, πρῶτον οὐρανοῦ καὶ μετὰ ταῦτα γῆς ἐν ταῖς ἐπαγγελίαις ἡμῖν παρὰ τοῦ θεοῦ προτεθείσης. τὸ γὰρ φαινόμενον ὅσον πρὸς τὴν σωματικὴν αἴσθησιν ὅλον πρὸς ἑαυτὸ συγγενῶς ἔχει. κἂν τὸ μὲν ὑψηλὸν εἶναι δοκῇ τῷ τοπικῷ διαστήματι, ἀλλ' οὖν κάτω τῆς νοερᾶς οὐσίας ἐστίν, ἧς ἀδύνατον ἐπιβατεῦσαι τὸν λογισμὸν μὴ διαβάντα τῷ λόγῳ ταῦτα πρότερον ὧν καθικνεῖται ἡ αἴσθησις.

Εἰ δὲ τῇ προσηγορίᾳ τῆς γῆς ἡ ὑπερκειμένη κατονομάζεται λῆξις, θαυμάσῃς μηδέν· τῷ γὰρ ταπεινῷ τῆς ἡμετέρας ἀκοῆς συγκαταβαίνει ὁ λόγος ὁ διὰ τοῦτο πρὸς ἡμᾶς καταβὰς ἐπειδὴ ἡμεῖς πρὸς αὐτὸν ἀνυψωθῆναι οὐχ οἷοί τε ἦμεν.

13-15 cf Plat Phaedr 246C; 247B-C

2 τῆς ΦΨZ: τῆς σπουδαζομένης αὐτῷ C 3 βαθμῶν Φ (-μῶ V) 4 ἄνοδον ΦΨZ: ἄνοδον ἧς πέρας ἡ δι' ἐλπίδος ἀποκειμένη κληρονομία τοῖς ἀξίοις ἐστίν C (cf 15-16) 13 ἐσομένης: οὔσης VM 14 οὐρανίου VM 18 οὐρανῶν v 21 τὸ ΦZ: γὰρ τὸ Ψ γὰρ δ v 25 κατονομάζεται WΨZ: προσάγεται VM 26 λῆξις WΨ (sed ῆ fort ex ή corr O -ή- R)Z: λέξις VM θαυμάσεις VO(-σῃς O²)Rv

διὰ τοίνυν τῶν ἡμῖν γνωρίμων ῥημάτων τε καὶ ὀνομάτων παραδίδωσι τὰ θεῖα μυστήρια, ταύταις ταῖς φωναῖς κεχρημένος ἃς ἡ συνήθεια τοῦ ἀνθρωπίνου περιέχει βίου. καὶ γὰρ ἐν τῇ πρὸ ταύτης ἐπαγγελίᾳ τὸν ἄφραστον ἐκεῖνον ἐν τοῖς οὐρανοῖς μακαρισμὸν βασιλείαν ὠνόμασεν· ἆρά τι τοιοῦτον τῷ λόγῳ παραδεικνύων οἷον ἡ κάτω περιέχει βασιλεία, διαδήματά τινα ταῖς τῶν λίθων αἴγλαις περιαστράπτοντα, καὶ εὐανθεῖς ἁλουργίδας ἡδύ τι τοῖς λίχνοις ὄμμασιν ἀπαυγαζούσας, προπύλαιά τε καὶ παραπετάσματα, καὶ ὑψηλοὺς θρόνους, καὶ δορυφόρων στοιχηδὸν περιεστώτων τάξεις, καὶ ὅσα ἄλλα προστραγῳδοῦσι περὶ τὴν τοιαύτην τοῦ βίου σκηνὴν οἱ τὸν ὄγκον τῆς δυναστείας διὰ τῶν τοιούτων ἐπὶ τὸ μεῖζον ἐξαίροντες; ἀλλ' ἐπειδὴ μέγα τι καὶ ὑπὲρ πάντα σχεδὸν τὰ ἐν ἀνθρώποις ζηλούμενα τὸ τῆς βασιλείας κατὰ τὸν βίον ἐστίν, διὰ τοῦτο συνεχρήσατο τῷ ὀνόματι πρὸς τὴν τῶν ὑπερκειμένων ἀγαθῶν δήλωσιν· ὡς εἴ γε ἦν ἄλλο τι παρὰ τοῖς ἀνθρώποις τῆς βασιλείας ἀνώτερον, δι' ἐκείνου ἂν τοῦ ὀνόματος πάντως ἀνεπτέρωσε τὴν ψυχὴν τοῦ ἀκούοντος πρὸς ἐπιθυμίαν τῆς ἀφράστου μακαριότητος. οὐδὲ γάρ ἐστι δυνατὸν ἰδίοις ὀνόμασιν ἐκεῖνα τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἐκκαλυφθῆναι ἃ ὑπὲρ αἴσθησίν τε καὶ γνῶσιν ἀνθρωπίνην ἐστίν. Οὔτε γὰρ ὀφθαλμὸς εἶδεν, φησίν, οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. ἀλλ' ὡς ἂν μὴ παντελῶς διαφύγοι τὸν στοχασμὸν ἡ ἐλπιζομένη μακαριότης, ὡς χωροῦμεν κατὰ τὸ ταπεινὸν ἡμῶν τῆς φύσεως οὕτω τῶν ἀνεκφωνήτων ἀκούομεν. μὴ οὖν ἡ τῆς γῆς ὁμωνυμία πάλιν μετὰ τοὺς οὐρανοὺς καθελκέτω σου τὴν διάνοιαν ἐπὶ τὴν κάτω γῆν, ἀλλ' εἴπερ ὑψώθης τῷ λόγῳ διὰ τῶν προτέρων

22 I Cor 2, 9; cf Is 64, 3

4 ἐν pr om Ψv 6 ἐν ante τῷ λόγῳ add VM 9 περιαυγαζούσας VM ὑπαυγαζούσας W καταπετάσματα Ψv 10 στιχηδὸν VM 14 ἐν: ἐπὶ VM ὄνομα post βασιλείας add v 15 ἐστίν WΨZ: ἐστὶν ὄνομα VM 18 μάλιστα post πάντως add Ψv ἐπτέρωσε Φ τὴν om Ψv 19 ἐστι: ἦν Ψv 21 καὶ post ἃ add VM 22 ιδεν (sic) V οἶδεν M 23 παντελῶς μὴ VM 24 διαφύγη VM 26 ἀκούωμεν M 27 οὐρανοὺς VWORZ: ἀνθρώπους MK σοι VM

μακαρισμῶν καὶ τῆς οὐρανίας ἐπέβης ἐλπίδος, ἐκείνην μοι πολυπραγμόνει τὴν γῆν ἧς οὐ πάντων ἐστὶν ἡ κληρονομία, πλὴν εἴ τινες διὰ τῆς τοῦ βίου πραότητος ἄξιοι
1212 M. τῆς ἐπαγγελίας ἐκείνης κρίνονται. ἥν μοι δοκεῖ καὶ ὁ μέγας Δαβὶδ ὁ παρὰ πάντας τοὺς κατ' αὐτὸν ἐπιδεδημηκότας τῷ βίῳ πραΰς τε καὶ ἀνεξίκακος μαρτυρηθεὶς ὑπὸ τῆς θείας γραφῆς προκατανενοηκέναι τῇ ὑφηγήσει τοῦ πνεύματος καὶ διὰ πίστεως ἤδη κατεσχηκέναι τὸ ἐλπιζόμενον, εἰπών, Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. οὐ γάρ φημι τὸν προφήτην ταύτην ζώντων προσειρηκέναι τὴν γῆν τὴν τὰ θνητὰ πάντα φύουσαν καὶ εἰς ἑαυτὴν πάλιν πᾶν τὸ ἐξ αὐτῆς γένος ἀναλύουσαν· ἀλλ' οἶδε γῆν ζώντων ἧς οὐκ ἐπέβη θάνατος, ἐν ᾗ ὁδὸς ἁμαρτωλῶν οὐκ ἐτρίβη, ἣ κακίας ἴχνος ἐφ' ἑαυτῆς οὐκ ἐδέξατο, ἣν οὐκ ἀνέτεμε τῷ ἀρότρῳ τῆς πονηρίας ὁ τὰ ζιζάνια σπείρων, ἣ τριβόλων καὶ ἀκανθῶν ἄγονος, ἐν ᾗ τὸ ὕδωρ τῆς ἀναπαύσεως καὶ ὁ τῆς χλόης τόπος καὶ ἡ τετραχῇ μεριζομένη πηγὴ καὶ ἡ παρὰ τοῦ θεοῦ τῶν ὅλων γεωργουμένη ἄμπελος καὶ ὅσα ἄλλα δι' αἰνιγμάτων παρὰ τῆς θεοπνεύστου διδασκαλίας ἀκούομεν. εἰ δὴ νενόηται ἡμῖν ἡ ὑψηλὴ γῆ ἡ ὑπεράνω τῶν οὐρανῶν θεωρουμένη, ἐφ' ἧς ἡ πόλις τοῦ μεγάλου βασιλέως συνῴκισται, περὶ ἧς τὰ δεδοξασμένα ἐλαλήθη, καθώς φησιν ὁ προφήτης, οὐκέτ' ἂν εἰκότως πρὸς τὴν τάξιν τῆς ἀκολουθίας τῶν μακαρισμῶν ξενιζοίμεθα. οὐδὲ γὰρ εἰκὸς ἦν, οἶμαι, ταύτην ἐν εὐλογίαις

8 Ps 26, 13 13 cf Ps 1, 1 15 cf Gen 3, 18 16 cf Ps 22, 2 17 cf Gen 2, 10 17-18 cf Ioh 15, 1 22 Ps 86, 3

1 οὐρανίου VM ἐκείνην: ἐκεῖ VM 2 μοι om WZ ἧς ΦZ: ἥτις Ψv (cf 90, 10; 93, 7; 98, 19) ἡ om Ψv 4 κρίνοιντο VM μέγας: μακάριος Z 5 προαναπεφωνηκέναι εἰπὼν οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν οὗτος γὰρ post δαβὶδ add S 6 πρᾶος VM 7 προνενοηκέναι Ψv (cf 107, 23) 8 τῆς πίστεως VM 10 προειρηκέναι VM 11 τὴν om v ἑαυτὴν: αυτὴν (sic) V υτὴν in init col M 14 ἴχνος WΨZ: εἶδος VM 15 ἣ W ἡ ceteri v correxi 16 διαπαντὸς ῥέει ἀλλόμενον εἰς ζωὴν αἰώνιον post ἀναπαύσεως add S 20 ἡ post γῆ om Ψv 21 μεγάλου ΦZ: om Ψv 23 τῶν μακαρισμῶν τῆς ἀκολουθίας VM 24 ἐν om Ψv εὐλογίας v

προκεῖσθαι ταῖς ἐλπίσι τὴν γῆν τοῖς ἁρπαγησομένοις, καθὼς φησιν ὁ ἀπόστολος, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα καὶ οὕτως μέλλουσι πάντοτε σὺν κυρίῳ ἔσεσθαι. τίς οὖν ἔτι χρεία τῆς κάτω γῆς οἷς ἡ ζωὴ μετάρσιος ἐν ἐλπίσιν ἐστίν; ἁρπαγησόμεθα γὰρ ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα.

᾿Αλλ᾿ ἴδωμεν τίνος ἀρετῆς γέρας ἡ ἐκείνης τῆς γῆς κληρονομία πρόκειται. Μακάριοι γάρ, φησίν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. τί τὸ πρᾶον; καὶ τὸ περὶ τί πρᾶον μακαρίζει ὁ λόγος; οὐ γάρ μοι δοκεῖ πάντα ἐπίσης ἀρετὴν οἴεσθαι δεῖν ὅσα ἐν πραότητι γίνεται, εἰ τὸ ἠρεμαῖόν τε καὶ βραδὺ μόνον διὰ τῆς λέξεως ταύτης σημαίνοιτο. οὔτε γὰρ ἐν δρομεῦσιν ὁ πρᾶος ἀμείνων τοῦ ἐπισπεύδοντος, οὔτε ὁ δυσκίνητος ἐν πυκτικῇ τὸν κατὰ τοῦ ἐναντίου στέφανον αἴρεται· κἂν τρέχωμεν πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐπιτείνειν ὁ Παῦλος συμβουλεύει τὸ τάχος, λέγων, Οὕτω τρέχετε ἵνα καταλάβητε, ἐπεὶ καὶ αὐτὸς διὰ σφοδροτέρας ἀεὶ τῆς κινήσεως τοῦ πρόσω εἴχετο, τῶν ὀπίσω λήθην ποιούμενος, καὶ πυκτεύων εὐκίνητος ἦν—διεώρα γὰρ τοῦ ἀνθεστῶτος τὴν προβολήν—καί, περὶ τὴν βάσιν ἀσφαλὴς ὢν καὶ ταῖς χερσὶ καθωπλισμένος, οὐ κατὰ κενοῦ τινος καὶ ἀνυποστάτου διερρίπτει τὸ περὶ τὰς χεῖρας ὅπλον ἀλλὰ τῶν καιρίων τοῦ προσπαλαίοντος ἥπτετο, κατ᾿ αὐτοῦ τοῦ σώματος τὰς πληγὰς φέρων. βούλει γνῶναι τοῦ Παύλου τὴν πυκτικήν; ἰδὲ τὰς ὠτειλὰς τοῦ ἀνταγωνιζομένου, ἰδὲ τὰ ὑπώπια τοῦ ἀντιπάλου, ἰδὲ τὰ στίγματα τοῦ ἡττηθέντος. πάντως δὲ
1213 M. οὐκ ἀγνοεῖς τὸν ἀντίπαλον τὸν διὰ τῆς σαρκὸς προσπαλαίοντα, ὃν ὑπωπιάζει διὰ τῆς πυκτικῆς, ἀμύσσων τοῖς ὄνυξι τῆς ἐγκρατείας, οὗ νεκροῖ τὰ μέλη λιμῷ καὶ δίψει καὶ

12 sqq I Cor 9, 24-27 15-16 cf Philipp 3, 14 29 sq cf II Cor 11, 27

7 εἰ οὖν καταλείψομεν τὴν γῆν ἀνενδεεῖς πάντως αὐτῆς ἐσόμεθα πρὸς τὴν ἄνω λῆξιν μετοικιζόμενοι ante ἀλλ᾿ add S 9 τὸ περὶ τί: περὶ τί τὸ v 11 ἂν post ὅσα add WΨv γίνηται WO² εἰ: ἡ (sic) VM 12 μόνον: θύμον (sic) VM 15 πρὸς: εἰς VM 20 προσβολήν ΨZv ὢν: ἦν Ψv

ψύχει καὶ γυμνότητι, ᾧ τὰ στίγματα τοῦ κυρίου ἐπιβάλλει, ὃν νικᾷ διὰ τοῦ δρόμου, κατόπιν ἑαυτοῦ καταλιπών, ὡς ἂν μὴ ἐπισκοτοῖτο τὰς ὄψεις τοῦ ἀντιπάλου προτρέχοντος. εἰ οὖν ὀξὺς καὶ εὐκίνητος ἐν τοῖς ἀγῶσιν ὁ Παῦλος, καὶ ὁ Δαβὶδ πλατύνει τὰ διαβήματα τοῖς ἐχθροῖς ἐπιτρέχων, καὶ ὁ νυμφίος ἐν τῷ Ἄισματι δορκάδι κατὰ τὸ εὐκίνητον ὁμοιοῦται, ὄρη διαπηδῶν καὶ βουνοῖς ἐφαλλόμενος—καὶ πολλὰ τοιαῦτα ἔστιν εἰπεῖν ἐν οἷς προτιμότερον εὑρίσκεται τῆς πραότητος τὸ κατὰ τὴν κίνησιν τάχος—πῶς ἐνταῦθα ἐν κατορθώματος εἴδει μακαρίζει τὸ πρᾶον ὁ λόγος; Μακάριοι γάρ, φησίν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν, ἐκείνην πάντως τὴν γῆν τὴν τῶν καλῶν εὔφορον γενημάτων, τὴν τῷ ξύλῳ τῆς ζωῆς κομῶσαν, τὴν ταῖς πηγαῖς τῶν πνευματικῶν χαρισμάτων κατάρρυτον, ἐφ' ἧς ἡ ἄμπελος ἡ ἀληθινὴ βλαστάνει, ἧς γεωργὸν τὸν πατέρα τοῦ κυρίου ἀκούομεν.

Ἀλλ' ἔοικε τοιοῦτόν τι φιλοσοφεῖν ὁ λόγος, ὅτι πολλὴ πρὸς τὴν κακίαν ἐστὶν ἡ εὐκολία καὶ ὀξύρροπον ἐπὶ τὸ χεῖρον ἡ φύσις, καθάπερ τὰ βαρέα τῶν σωμάτων πρὸς μὲν τὰ ἄνω παντάπασιν ἀκίνητα μένει, εἰ δέ τινος ἀκρωρείας ὑψηλῆς ἐπὶ τὸ πρανὲς ἀποσεισθείη τοσούτῳ ῥοίζῳ πρὸς τὸ ὑποκείμενον φέρεται, τοῦ οἰκείου βάρους τὴν φορὰν ἐπιτείνοντος, ὡς ὑπὲρ λόγον εἶναι τὸ τάχος. ἐπεὶ οὖν χαλεπόν ἐστιν ἡ ἐν τούτοις ὀξύτης, μακαριστὸν ἂν εἴη πάντως τὸ ἐξ ἀντιστρόφου νοούμενον. τοῦτο δέ ἐστι πραότης, ἡ πρὸς τὰς τοιαύτας τῆς φύσεως ὁρμὰς βραδεῖά τε καὶ δυσκίνητος ἕξις. καθάπερ γὰρ τὸ πῦρ, ἀεικίνητον τὴν φύσιν ἐπὶ τὰ ἄνω ἔχον, ἀκίνητόν ἐστι κατὰ τὴν ἐναντίαν φοράν, τὸν αὐτὸν τρόπον καὶ ἡ ἀρετή, πρὸς τὰ ἄνω καὶ ὑπερκείμενα ὀξεῖά τις οὖσα καὶ οὐχ ὑφιεῖσά

1 cf Gal 6, 17 4-5 Ps 17, 37-39 6-7 Cant 2, 8-9 12-13 cf Apoc 2, 7 13-14 cf Rom 1, 11

1 γυμνότητι καὶ ψύχει VM 2 μὴ om VM 4 μακάριος ante παῦλος add VM 10 τὸ WΨZ: τὸν VM 12 γεννημάτων ORv 16 τι τοιοῦτον VM 17 ὀξύρροπος Φ (cf 22) 19 δέ: δ' ἐκ VMZ 20-21 ὑπερκείμενον Ψ (ὑποκ- O^{2}) 23 πάντως post ἀντιστρόφου coll VM 26 τὴν φύσιν post ἄνω coll Φ 28 τὰ—ὑπερκείμενα ΨZ: τὸ—ὑπερκείμενον Φ (cf 95, 4)

ποτε τῆς ταχυτῆτος, πεπέδηται πρὸς τὴν ἐναντίαν ὁρμήν. οὐκοῦν ἐπειδὴ πλεονάζει κατὰ τὴν φύσιν ἡμῶν ἡ πρὸς τὰ κακὰ ταχυτής, καλῶς τὸ ἐν τοῖς τοιούτοις ἠρεμοῦν μακαρίζεται. τὸ γὰρ ἡσύχιον ἐν τούτοις τῆς πρὸς τὰ ἄνω κινήσεως μαρτυρία γίνεται. κρεῖττον δ' ἂν εἴη δι' αὐτῶν τῶν κατὰ τὸν βίον ὑποδειγμάτων σαφηνίσαι τὸν λόγον· διπλῆ τῆς ἑκάστου προαιρέσεώς ἐστιν ἡ κίνησις, κατ' ἐξουσίαν πρὸς τὸ δοκοῦν προϊοῦσα, ἔνθεν πρὸς σωφροσύνην, ἐκεῖθεν πρὸς τὸ ἀκόλαστον. ὃ δ' ἐπὶ μέρους εἴρηται τοῦ κατὰ τὴν ἀρετὴν καὶ κακίαν εἴδους, τοῦτο καὶ ἐπὶ παντὸς νοείσθω. σχίζεται γὰρ πάντως πρὸς τὰς ἐναντίας ὁρμὰς τὸ ἀνθρώπινον ἦθος, ἢ θυμοῦ πρὸς ἐπιείκειαν ἀντιδιαιρουμένου ἢ τύφου πρὸς μετριότητα ἢ φθόνου πρὸς εὔνοιαν ἢ δυσμενείας πρὸς ἀγαπητικήν τε καὶ εἰρηνικὴν συνδιάθεσιν. ἐπειδὴ τοίνυν ὑλώδης μὲν ὁ ἀνθρώπινος βίος, περὶ δὲ τὰς ὕλας τὰ πάθη, πᾶν δὲ πάθος ὀξεῖαν ἔχει
1216 M. καὶ ἀκατάσχετον τὴν ὁρμὴν πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος—βαρεῖα γὰρ καὶ κατωφερὴς ἡ ὕλη—διὰ τοῦτο μακαρίζει ὁ κύριος οὐ τοὺς ἔξω πάθους ἐφ' ἑαυτῶν βιοτεύοντας—οὐ γὰρ δυνατόν ἐστιν ἐν ὑλώδει ζωῇ τὸν ἄϋλον καθ' ὅλου καὶ ἀπαθῆ κατορθωθῆναι βίον—ἀλλὰ τὸν ἐνδεχόμενον τῆς ἀρετῆς ὅρον ἐν τῇ διὰ σαρκὸς ζωῇ τὴν πραότητα λέγει, καὶ ἱκανὸν εἰς μακαρισμὸν τὸ πρᾶον εἶναί φησιν. οὐ γὰρ καθ' ὅλου τὴν ἀπάθειαν νομοθετεῖ τῇ ἀνθρωπίνῃ φύσει—οὐδὲ γὰρ δικαίου νομοθέτου τὸ ταῦτα κελεύειν ὅσα ἡ φύσις οὐ δέχεται· τὸ γὰρ τοιοῦτον ὅμοιόν ἐστιν ὥσπερ ἂν εἴ τις τὰ ἔνυδρα μετοικίζοι πρὸς τὸν ἐναέριον βίον ἢ τὸ ἔμπαλιν ἐπὶ τὸ ὕδωρ ὅσα τῷ ἀέρι ἐμβιοτεύει—ἀλλὰ τῇ οἰκείᾳ καὶ κατὰ φύσιν δυνάμει πρόσφορον εἶναι προσήκει τὸν νόμον. διὰ τοῦτο τὸ μέτριόν τε καὶ πρᾶον ὁ μακαρισμός, οὐ τὸ παντάπασιν

4 ἥσυχον VM (cf 98, 17) 5 μαρτυρία γίνεται: μαρτυρίαν ἔχει VM 8 ἔνθεν: ἐντεῦθεν VM 9 καὶ ΨZ: ἢ Φ 10-11 πάντως post ἐναντίας coll Φ 12 διαιρουμένου ΦZ 13 τε om Ψv 16 τὴν ante ὁρμὴν om VM 18 πάθους: παθῶν VMZ (ut vid) ἐφ' ἑαυτῶν: ἑαυτοὺς VM 19 καθ': δι' VM 21 καὶ ἱκανὸν—97, 3 συνεκπτύοντα τοι- uno fol deperd desunt O 25 ἢ ante τὰ add W μετοικίζοιτο VM μετοικίζοι ex -ει corr K

ἀπαθὲς ἐγκελεύεται· τὸ μὲν γὰρ ἔξω τῆς φύσεως, τὸ δὲ δι' ἀρετῆς κατορθούμενον. εἰ οὖν τὸ ἀκίνητον πρὸς ἐπιθυμίαν ὁ μακαρισμὸς ὑπετίθετο, ἀνόνητος ἂν ἦν τῷ βίῳ καὶ ἄχρηστος ἡ εὐλογία· τίς γὰρ ἂν τοῦ τοιούτου καθίκοιτο σαρκὶ καὶ αἵματι συνεζευγμένος; νυνὶ δέ φησιν οὐ τὸν ἐπιθυμήσαντα κατά τινα συντυχίαν εἶναι κατάκριτον ἀλλὰ τὸν ἐκ προνοίας τὸ πάθος ἐπισπασάμενον. τὸ μὲν γὰρ ἐγγενέσθαι ποτὲ τοιαύτην ὁρμὴν ἡ συγκεκραμένη τῇ φύσει πολλάκις ἀσθένεια καὶ παρὰ γνώμην παρασκευάζει· τὸ δὲ μὴ χειμάρρου δίκην παρενεχθῆναι τῇ τοῦ πάθους ὁρμῇ ἀλλ' ἀνδρικῶς πρὸς τὴν τοιαύτην διάθεσιν στῆναι καὶ τοῖς λογισμοῖς τὸ πάθος ἀπώσασθαι, τοῦτο τῆς ἀρετῆς ἔργον ἐστίν. μακάριοι τοίνυν οἱ μὴ ὀξύρροποι πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις ἀλλὰ κατεσταλμένοι τῷ λόγῳ, ἐφ' ὧν ὁ λογισμὸς καθάπερ τις χαλινὸς ἀναστομῶν τὰς ὁρμὰς οὐκ ἐᾷ τὴν ψυχὴν πρὸς ἀταξίαν ἐκφέρεσθαι. μᾶλλον δ' ἄν τις ἐπὶ τοῦ κατὰ τὸν θυμὸν πάθους τὸ τοιοῦτον ἴδοι, ὅπως ἐστὶ μακαριστὸν ἡ πραότης. ἐπειδὰν γὰρ λόγος ἢ πρᾶξίς τις ἢ ὑπόνοια τῶν ἀηδεστέρων τὴν τοιαύτην ἀνακινήσῃ νόσον καὶ περιζέσῃ τῇ καρδίᾳ τὸ αἷμα καὶ διαναστῇ πρὸς ἄμυναν ἡ ψυχή, καθάπερ οἱ μῦθοι διὰ φαρμακοποσίας τινὸς εἰς ἀλόγων μορφὰς ἀλλοιοῦσι τὴν φύσιν, οὕτως ἔστιν ἐξαίφνης ἰδεῖν σῦν ἢ κύνα ἢ πάρδαλιν ἢ ἄλλο τι τῶν τοιούτων θηρίων ἐκ τοῦ θυμοῦ τὸν ἄνδρα γενόμενον. ὕφαιμος ὀφθαλμός, θρὶξ ἱσταμένη καὶ ἐπιφρίσσουσα, φωνὴ τραχεῖα καὶ ἐποξυνομένη τοῖς ῥήμασιν, γλῶσσα τῷ πάθει νεναρκηκυῖα καὶ οὐχ ὑπηρετοῦσα ταῖς ἔνδον ὁρμαῖς, χείλη

14-15 cf Iac 3, 2-3 19 sqq cf 155, 27 sqq; Or dom 47, 5-9; Aristot De an I, 1, 403a30-31

1 εἶναι post ἀπαθὲς add VM 3 μὴ παραδεχομένης τὸ ἀγαθὸν τῆς δυνάμεως post μακαρισμὸς add S καὶ ἄχρηστος τῷ βίῳ VM 4 καθικνοῖτο VM 9 τὴν γνώμην VM 11 διάθεσιν : ὑπόθεσιν VM δι fort e corr W 13 κινήσεις WΨZ : διαθέσεις VM 16 ἀταξίας KR (ς ex ν ut vid corr R) 18 ἢ ante λόγος add Φ τις ἢ : ἡ τις Φ ἢ Z 19 ἀνακίνησιν ὅσον K 20 μῦθοι WΨZ : χυμοὶ VM 22-23 ἄλλο τι τοιοῦτον θηρίον ν 23 γινόμενον VM 24 ἱσταμένη ΦΑ : ἑσταμένη Ψ(ε- K ἑ- R)Εν 25 ἐποξυναιρουμένη V ἐπ' ὀξὺν αἱρομένη M

πεπηγότα καὶ οὐ διαρθροῦντα τὸν λόγον οὐδὲ περιστέλλοντα τῷ στόματι τὴν ἐγγινομένην ὑπὸ τοῦ πάθους ὑγρότητα ἀλλ' ἀσχημόνως τὸν ἀφρὸν τῇ φωνῇ συνεκπτύοντα, τοιαῦται αἱ χεῖρες, τοιοῦτοι οἱ πόδες, τοιαύτη πᾶσα τοῦ σώματος ἡ διάθεσις, ἑκάστου τῶν μελῶν συνδιατιθεμένου τῷ πάθει. 1217 M. εἰ οὖν ὁ μὲν τοιοῦτος εἴη, ὁ δὲ πρὸς τὸν μακαρισμὸν βλέπων διὰ τῶν λογισμῶν καταπραΰνει τὴν νόσον ἐν καθεστῶτι τῷ βλέμματι καὶ ἠρεμαίᾳ τῇ φωνῇ, καθάπερ τις ἰατρὸς τὸν ἐκ φρενίτιδος ἀσχημονοῦντα θεραπεύων τῇ τέχνῃ, ἆρ' οὐχὶ καὶ αὐτὸς ἐρεῖς, ἀντιπαραθεὶς τοῦτο ἐκείνῳ, ὅτι ἐλεεινὸς μὲν καὶ βδελυκτὸς ὁ θηριώδης ἐκεῖνος, μακαριστὸς δὲ ὁ πραῢς ὁ τῇ τοῦ πέλας κακίᾳ μὴ συνδιαστρέψας τὸ εὔσχημον;

Καὶ ὅτι πρὸς τοῦτο μάλιστα τὸ πάθος ὁ λόγος βλέπει δῆλόν ἐστιν ἐκ τοῦ μετὰ τὴν ταπεινοφροσύνην νομοθετῆσαι ἡμῖν τὴν πραότητα. ἔοικε γὰρ ἔχεσθαι τοῦ ἑτέρου τὸ ἕτερον καὶ οἷον μήτηρ τις εἶναι τῆς κατὰ τὸ πρᾶον ἕξεως ἡ τῆς ταπεινοφροσύνης κατάστασις. εἰ γὰρ ὑφέλοις τοῦ ἤθους τὸν τῦφον, καιρὸν οὐκ ἔχει τὸ κατὰ θυμὸν ἐγγενέσθαι πάθος. ὕβρις γὰρ καὶ ἀτιμία τῆς τοιαύτης ἀρρωστίας τοῖς ὀργισθεῖσιν αἰτία γίνεται. ἀτιμία δὲ οὐχ ἅπτεται τοῦ ἑαυτὸν ἐν ταπεινοφροσύνῃ παιδαγωγήσαντος. εἰ γάρ τις κεκαθαρμένον ἔχοι τὸν λογισμὸν ἐκ τῆς ἀνθρωπίνης ἀπάτης καὶ βλέποι τὸ οὐτιδανὸν τῆς φύσεως ᾗ συγκεκλήρωται, ἀφ' οἵας ἀρχῆς τὴν σύστασιν ἔχει καὶ εἰς ὅ τι φέρεται τέλος τὸ βραχὺ καὶ ὠκύμορον τῆς τῆδε ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥύπον καὶ τὸ πενιχρὸν τῆς φύσεως, τὸ μὴ εἶναι αὐτὴν αὐτάρκη δι' ἑαυτῆς πρὸς τὴν ἰδίαν σύστασιν εἰ μὴ τῇ περιουσίᾳ τῶν ἀλόγων τὸ ἐνδέον ἀναπληρώσειεν, λύπας τε πρὸς τούτοις καὶ πένθη καὶ συμφορὰς τάς τε πολυτρόπους τῶν νοσημάτων ἰδέας

1 οὐ om R in marg add R^2 οὐδὲ: οὔτε Ψv 2 ἐγγενομένην Ψ (γεν e γιν corr ut vid R)v 3 τῇ φωνῇ τὸν ἀφρὸν VM συνεκφύοντα Ψ 4-5 ἡ διάθεσις τοῦ σώματος VM 7 καταπραύνοι Ψv 8 τὸν ΦZ: om Ψv 10 τοῦτον R^2SZ (ut vid) 11 πρᾶος VM 18 τὸν ante θυμὸν add VM γενέσθαι VM (cf ad 84, 1) 20 ἐν om Ψv 20-21 ἑαυτὸν post ταπεινοφροσύνῃ coll VM 23 ᾗ: ᾧ VM 24 τὸ: τό τε VM τὸ δὲ W

αἷς ὑπόκειται ἡ ἀνθρωπίνη ζωή, ὧν οὐκ ἔστιν ὅστις ἐκ φύσεως ἀτελής ἐστι καὶ ἐλεύθερος—ὁ ταῦτα δι᾽ ἀκριβείας κεκαθαρμένῳ τῷ τῆς ψυχῆς ὀφθαλμῷ βλέπων οὐκ ἂν ῥᾳδίως πρὸς τὰς τῶν τιμῶν ἐλλείψεις ἀγανακτήσειεν. τὸ ἐναντίον μὲν οὖν ἀπάτην ἡγήσεται τὴν ἐπί τινι προσαγομένην αὐτῷ παρὰ τοῦ πέλας τιμήν, οὐκ ὄντος ἡμῖν ἐν τῇ φύσει τοιούτου τινὸς ὃ δύναται τὴν πρὸς τὸ τίμιον κοινωνίαν ἔχειν εἰ μὴ κατὰ ψυχὴν μόνον, ἧς ἡ τιμὴ οὐκ ἀπὸ τῶν κατὰ τὸν κόσμον τοῦτον ἐπιζητουμένων συνίσταται. τὸ γὰρ ἐπὶ πλούτῳ κομπάζειν ἢ γένει σεμνύνεσθαι ἢ πρὸς δόξαν ὁρᾶν ἢ τὸ δοκεῖν ὑπὲρ τὸν πέλας εἶναι, δι᾽ ὧν αἱ ἀνθρώπιναι πληροῦνται τιμαί, ταῦτα πάντα καθαίρεσις τῆς ψυχικῆς τιμῆς καὶ ὄνειδος γίνονται, ὡς μὴ ἂν ἑλέσθαι τὸν λελογισμένον τοιούτῳ τινὶ τὸ καθαρὸν τῆς ψυχῆς καταμολύνεσθαι. τὸ δὲ οὕτως ἔχειν οὐδὲν ἕτερον ἢ ἐν ἕξει βαθείᾳ τῆς ταπεινοφροσύνης ἐστὶν εἶναι, ἧς κατορθωθείσης οὐδεμίαν εἴσοδον ὁ θυμὸς κατὰ τῆς ψυχῆς ἕξει. τούτου δὲ μὴ παρόντος ὁ ἤρεμός τε καὶ ἡσύχιος κατορθοῦται βίος, ὅπερ οὐδὲν ἕτερον εἰ μὴ πραΰτης ἐστίν, ἧς τὸ πέρας μακαρισμὸς καὶ οὐρανίας γῆς κληρονομία, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Γ′

1220 M. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Οὔπω τῆς κορυφῆς τοῦ ὄρους ἐπιβεβήκαμεν ἀλλ᾽ ἔτι κάτω

3 cf 142, 16 sqq 17-18 cf I Tim 2, 2

2 ἐντελής VM ὁ ΦZ: om Ψv 8 τὰ ante κατὰ pr add W 9 τούτων WΨ 13 ἂν ἑλέσθαι Ψ (spir alt expunx O): ἀνέχεσθαι VM ἀνελέσθαι W (cf 129, 19) 15 ἐστὶν post ἕτερον coll VM 17 ὁ om VM ἠρεμαῖος Φ (-μέος W) 18 πραότης VM 20 τῷ κυρίῳ ἡμῶν post ἰησοῦ add VM τῷ θεῷ ἡμῶν add Z 21 ἐτελεώθη λόγος β′ post ἀμήν add Z 22 λόγος γ′ E: τοῦ αὐτοῦ εἰς τοὺς μακαρισμοὺς ὁμιλία γ′ W ὁμιλία γ′ post παρακληθήσονται 23 coll AS om VMΨ (sed λόγος κθ′ in marg scr K) ἑξῆς λόγος γ′ περὶ τοῦ Z 23 τοῦ αὐτοῦ ante μακάριοι add A 24 κάτω Φ(in marg scr W)Z: om Ψv

κατὰ τὴν ὑπώρειαν τῶν νοημάτων ἐσμέν, εἰ καὶ δύο τινὰς ἤδη παρωδεύσαμεν λόφους, ἐπὶ τὴν μακαριστὴν πτωχείαν καὶ τὴν ἀνωτέρω ταύτης πραότητα διὰ τῶν μακαρισμῶν ἀναχθέντες, μεθ' οὓς προσάγει τοῖς ὑψηλοτέροις ἡμᾶς ὁ λόγος καὶ τρίτον ἡμῖν ἐφεξῆς ὕψωμα διὰ τῶν μακαρισμῶν ἀναδείκνυσιν· πρὸς ὃ χρὴ πάντως ἀναδραμεῖν ὄκνον ἀποθεμένους πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, καθώς φησιν ὁ ἀπόστολος, ὡς ἂν κοῦφοι καὶ εὐσταλεῖς ἐπὶ τῆς ἄκρας γενόμενοι καθαρωτέρῳ τῷ τῆς ἀληθείας φωτὶ διὰ τῆς ψυχῆς προσπελάσαιμεν. τί τοίνυν ἐστὶ τὸ λεγόμενον, Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται; γελάσει πάντως ὁ πρὸς τὸν κόσμον βλέπων καὶ λέξει ταῦτα καταχλευάζων τὸν λόγον· Εἰ μακαρίζονται κατὰ τὸν βίον οἱ ἐν πάσῃ συμφορᾷ δαπανώμενοι, ἄθλιοι κατὰ τὸ ἀκόλουθόν εἰσι πάντως οἷς ἄλυπός τε καὶ ἀπήμων ἐστὶν ἡ ζωή. καὶ οὕτω τὰ εἴδη τῶν συμφορῶν ἐξαριθμούμενος, πλεονάσει τὸν γέλωτα, τὰ τῆς χηρείας κακὰ καὶ τὴν τῆς ὀρφανίας ταλαιπωρίαν ὑπ' ὄψιν ἄγων, τὰς ζημίας, τὰ ναυάγια, τὰς ἐκ πολέμων αἰχμαλωσίας, τὰς ἀδίκους ἐν δικαστηρίῳ κρίσεις, μεθορισμούς τε καὶ δημεύσεις καὶ ἀτιμίας τάς τε συμφορὰς τὰς ἐκ τῶν νόσων, οἷον πηρώσεις τε καὶ ἀκρωτηριασμοὺς καὶ τὴν παντοδαπὴν τοῦ σώματος λώβην, καὶ εἴ τι τοῖς ἀνθρώποις κατὰ τὸν βίον τοῦτον συνίσταται πάθος, ἢ σώματος ἢ ψυχῆς ἁπτόμενον, πάντα τῷ λόγῳ διεξελεύσεται, δι' ὧν, ὡς οἴεται, καταγέλαστον ἀποδείξει τὸν τοὺς πενθοῦντας μακαρίζοντα λόγον. ἡμεῖς δὲ μικρὰ φροντίσαντες τῶν μικροψύχως τε καὶ ταπεινῶς ἀναθεωρούντων τὰ θεῖα νοήματα, ὡς ἔστι δυνατὸν κατιδεῖν τὸν ἐγκείμενον τῷ εἰρημένῳ διὰ βάθους πλοῦτον ἐπιχειρήσωμεν, ὅπως ἂν φανερὸν καὶ διὰ τούτου γένοιτο πόσον ἐστὶ τὸ διάφορον τῆς σαρκίνης τε καὶ

6-8 Hebr 12, 1 (sed ὄγκον) 9-10 cf Ioh 3, 21

1 ὑπορίαν Φ (-ω- M) 5 ἐξαίφνης VM (ἐξέφ- M) 18 τὰς ναυαγίας Φ (cf 131, 22) 19 δικαστηρίοις VM 23 τοιοῦτον ante κατὰ add VM 26 μικροψύχων VM 28 τῶν εἰρημένων VM 29 τούτου MWO² (ut vid)Z: τοῦτο VΨv (cf ad 103, 14)

χοϊκῆς διανοίας πρὸς τὴν ὑψηλήν τε καὶ ἐπουράνιον. Ἔστι μὲν οὖν ἐκ τοῦ προχείρου μακαριστὸν ὑπολαβεῖν ἐκεῖνο τὸ πένθος τὸ ἐπὶ πλημμελήμασι καὶ ἁμαρτίαις γινόμενον, κατὰ τὴν τοῦ Παύλου περὶ τῆς λύπης διδασκαλίαν τοῦ φήσαντος μὴ ἓν εἶναι λύπης εἶδος ἀλλὰ τὸ μὲν κοσμικόν, τὸ δὲ κατὰ θεὸν ἐνεργούμενον, καὶ τῆς μὲν κοσμικῆς λύπης θάνατον εἶναι τὸ ἔργον, τὴν δὲ ἑτέραν σωτηρίαν ἐκ μετανοίας τοῖς λυπουμένοις ἐργάζεσθαι. τῷ ὄντι γὰρ οὐκ ἔξω τοῦ μακαρίζεσθαι τὸ τοιοῦτον τῆς ψυχῆς πάθος ἐστὶν ὅταν ἐν αἰσθήσει γενομένη τοῦ χείρονος τὸν ἐν κακίᾳ βίον ἀπολοφύρηται. καθάπερ γὰρ ἐπὶ τῶν σωματικῶν ἀρρωστημάτων οἷς ἂν πάρετον ἐξ ἐπηρείας τινὸς γένηταί τι μέρος τοῦ σώματος σημεῖον τοῦ νενεκρῶσθαι τὸ παρειμένον ἡ ἀναλγησία γίνεται· εἰ δὲ κατά τινα τέχνην ἰατρικὴν ἡ ζωτικὴ πάλιν αἴσθησις ἐπαναχθείη τῷ σώματι, χαίρουσιν ἤδη πονοῦντος τοῦ μέρους
1221 M. αὐτός τε ὁ κάμνων καὶ οἱ τὴν θεραπείαν προσάγοντες, τεκμηρίῳ χρώμενοι τοῦ πρὸς ὑγίειαν ῥέψαι τὸ πάθος τῷ ἐν αἰσθήσει τῶν δριμυσσόντων ἤδη γενέσθαι τὸ μέλος· οὕτως ἐπειδάν, καθώς φησιν ὁ ἀπόστολος, ἀπηλγηκότες τινὲς παραδῶσι τῷ καθ' ἁμαρτίαν βίῳ ἑαυτούς, νεκροί τινες ὄντως καὶ πάρετοι τοῦ κατ' ἀρετὴν βίου γενόμενοι, οὐδεμίαν ἔχουσιν ὧν ποιοῦσι τὴν αἴσθησιν· εἰ δὲ καθάψαιτό τις αὐτῶν ὁ ἰατρεύων λόγος οἷον διά τινων θερμῶν τε καὶ διακαιόντων φαρμάκων, λέγω δὲ τῶν σκυθρωπῶν τῆς μελλούσης κρίσεως ἀπειλῶν, καὶ διὰ βάθους τὴν καρδίαν τῷ φόβῳ τῶν προσδοκωμένων δριμύξειεν, γεέννης φόβον καὶ πῦρ μὴ σβεννύμενον καὶ ἀτελεύτητον σκώληκα καὶ βρυγμὸν ὀδόντων καὶ κλαυθμὸν ἀδιάλειπτον καὶ σκότος ἐξώτερον καὶ ἅπαντα τὰ τοιαῦτα, οἷόν τινα θερμὰ καὶ δριμέα φάρμακα, τῷ νεναρκηκότι διὰ τῶν

5 II Cor 7, 10 19 Eph 2, 1; 4, 18-19; Col 2, 13 26-27 cf Mar 9, 43-48; Matth 18, 8-9; Is 66, 24 27-28 cf Matth 8, 12 al; Luc 13, 28

5 ἓν post εἶδος coll Φ 7 τῆς δὲ ἑτέρας VM 17 τρέψαι Ψν τῷ (sic) E: τὸ ΦΨν 20 κατ' Ψ (καθ' O²) ἑαυτοὺς ante τῷ coll Φ ὄντως WORZ: ὄντες VMK 22 τις: πως Φ 24 δὲ W(η sscr W²)ΨZ: δὴ VM 28 πάντα Φ

καθ' ἡδονὴν παθημάτων ἐντρίβων καὶ ἀναθάλπων, εἰς αἴσθησίν τε αὐτὸν ἀγάγοι τοῦ ἐν ᾧ ἦν βίου, μακαριστὸν αὐτὸν ἀπεργάσεται, τὴν ὀδυνηρὰν αἴσθησιν τῇ ψυχῇ ἐμποιήσας· καθάπερ καὶ ὁ Παῦλος τὸν τῇ κοίτῃ τοῦ πατρὸς ἐπιλυσσήσαντα μέχρις ἐκείνου μαστίζει τῷ λόγῳ ἕως ἀναισθήτως εἶχεν τῆς ἁμαρτίας, ἐπεὶ δὲ καθίκετο τοῦ ἀνδρὸς ἡ τῆς ἐπιπλήξεως ἰατρεία, ὡς ἤδη μακάριον διὰ τοῦ πένθους γενόμενον παρακαλεῖν ἄρχεται ἵνα μὴ τῇ περιττοτέρᾳ λύπῃ, φησί, καταποθῇ ὁ τοιοῦτος.

Ἔστω δὲ καὶ τοῦτο ἡμῖν τὸ νόημα πρὸς τὴν προκειμένην τοῦ μακαρισμοῦ θεωρίαν εἰς τὸν κατ' ἀρετὴν βίον οὐκ ἄχρηστον διὰ τὸ πλεονάζειν πως ἐν τῇ φύσει τῶν ἀνθρώπων τὴν ἁμαρτίαν, ταύτης δὲ φάρμακον τὸ ἐκ μετανοίας πένθος ἀποδεδεῖχθαι. ἀλλά μοι δοκεῖ βαθύτερόν τι τῶν εἰρημένων ὑποσημαίνειν ὁ λόγος, ἐν τῇ παρατατικῇ τοῦ πένθους ἐνεργείᾳ ἄλλο τι παρὰ τοῦτο νοεῖν ὑφηγούμενος. εἰ γὰρ μόνην τὴν ἐπὶ τῷ πλημμελήματι μεταμέλειαν ἐπεδείκνυεν, ἀκολουθότερον ἂν ἦν τοὺς πενθήσαντας μακαρίζεσθαι, οὐ τοὺς εἰσαεὶ πενθοῦντας, ὡς ἐπὶ ὑποδείγματος συγκρίσει τῆς ἐν τῇ νόσῳ διαγωγῆς τοὺς θεραπευθέντας μακαρίζομεν, οὐ τοὺς εἰσαεὶ θεραπευομένους. ἡ γὰρ παράτασις τῆς θεραπείας καὶ τὸ τῆς ἀρρωστίας διηνεκὲς συνενδείκνυται. καὶ ἄλλως δέ μοι δοκεῖ καλῶς ἔχειν μὴ τῷ τοιούτῳ μόνῳ νοήματι τίθεσθαι, ὡς τοῦ λόγου τοῖς ἐφ' ἁμαρτίαις πενθοῦσι τὸν μακαρισμὸν νέμοντος. πολλοὺς γὰρ εὑρήσομεν ἀκατηγόρητον ἐσχηκότας τὸν βίον καὶ ὑπ' αὐτῆς τῆς θείας φωνῆς μεμαρτυρημένον ἐπὶ παντὶ τῷ βελτίονι. ποία γὰρ πλεονεξία τοῦ Ἰωάννου; ποία εἰδωλολατρία τοῦ Ἠλίου; τί μικρὸν ἢ μεῖζον κατὰ τὸν βίον ἐκείνων οἶδεν ἡ

4-5 I Cor 5, 1 sqq 9 II Cor 2, 7

2 τε om WΨv βίῳ VM 3 ἀπεργάσηται Ψv 5 ἂν post ἕως add v 6 ἐπειδὴ VM 8 γινόμενον VM 10 δὲ: μὲν VM δὴ Z om W 14 ἀποδέδειχθαι (sic) W ἀποδέδεικται ΨZv 17 ὑπεδείκνυεν Φ 18 ἀεὶ Φ 20 ἀεὶ Φ 22 δέ—καλῶς om W καλῶς ἔχειν δοκεῖ VM 23 νοήματι μόνῳ VM 24 ἁμαρτίαι O (-αις O²) ἁμαρτίας K νέμοντες M νέμοντας K 26 μεμαρτυρημένους V(-ριμ- V)MZ

ἱστορία πλημμέλημα; τί οὖν; ἆρα ἔξω τῆς μακαριότητος εἶναι ὁ λόγος αὐτοὺς ὑποθήσεται τοὺς μηδὲ τὴν ἀρχὴν νενοσηκότας μηδὲ τοῦ φαρμάκου τούτου, λέγω δὲ τοῦ ἐκ μετανοίας πένθους, εἰς χρείαν ἐλθόντας; ἢ ἄτοπον ἂν εἴη τοὺς τοιούτους τῆς θείας μακαριότητος ἀποβλήτους οἴεσθαι ὅτι μήτε ἥμαρτον μήτε πένθει τὴν ἁμαρτίαν ἰάσαντο; ἢ οὕτω γ' ἂν εἴη τὸ ἁμαρτάνειν τοῦ ἀναμαρτήτως ζῆν προτιμότε-
1224 M. ρον, εἰ μόνοις τοῖς μετανοοῦσιν ἡ τοῦ παρακλήτου χάρις ἀποκεκλήρωται; Μακάριοι γάρ, φησίν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. οὐκοῦν ὡς ἔστι δυνατὸν ἑπόμενοι, καθώς φησιν ὁ Ἀμβακούμ, τῷ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβῶντι, πάλιν τὴν ἐγκειμένην διάνοιαν τοῖς εἰρημένοις ἀναζητήσωμεν, ὡς ἂν μάθοιμεν ποίῳ πένθει πρόκειται ἡ τοῦ πνεύματος τοῦ ἁγίου παράκλησις.

Σκοπήσωμεν τοίνυν ἐν τῇ ἀνθρωπίνῃ ζωῇ τί ποτε πρῶτον αὐτὸ τὸ πένθος ἐστὶ καὶ ἐπὶ τίσι συνίσταται. οὐκοῦν πρόδηλον ἅπασι τὸ τοιοῦτον, ὅτι πένθος ἐστὶ σκυθρωπὴ διάθεσις τῆς ψυχῆς ἐπὶ στερήσει τινὸς τῶν καταθυμίων συνισταμένη, ὅπερ ἐπὶ τῶν ἐν εὐθυμίᾳ διαβιούντων συνίστασθαι χώραν οὐκ ἔχει. οἷον εὐπραγεῖ τις κατὰ τὸν βίον, πάντα κατὰ ῥοῦν αὐτῷ διὰ τῶν ἡδέων τὰ πράγματα φέρεται, τῇ γαμετῇ ἐπευφραίνεται, τοῖς παισὶν ἐπαγάλλεται, διὰ τῆς τῶν ἀδελφῶν συμμαχίας ὠχύρωται, σεμνὸς κατὰ τὴν ἀγοράν, τίμιος τοῖς δυναστεύουσιν, φοβερὸς τοῖς ἀντιτεταγμένοις, ἀκαταφρόνητος τοῖς ὑποχειρίοις, φίλοις εὐπρόσιτος, πλούτῳ κομῶν, ἀπολαυστικός, ἡδύς, ἄλυπος, σθεναρὸς τῷ σώματι, πάντα ἔχων ὅσα τίμια κατὰ τὸν κόσμον τοῦτον εἶναι δοκεῖ· ὁ τοιοῦτος πάντως ἐν εὐφροσύνῃ βιώσεται, ἑκάστῳ τῶν παρόντων ἐπιγανύμενος. εἰ δέ τις μεταβολὴ τῆς εὐημερίας

11 Hab 3, 19 20-21 cf Plat Resp 492C

2 αὐτούς ante εἶναι coll VM μήτε Ψv (cf Or dom 9, 22) 3 μήτε ORv μετὰ K δὲ ΨZ: δὴ Φ 4 ἂν om v 6 ἢ om VM εἰ W 7 γ': γὰρ VM δ' K 13 μάθωμεν VM 16 τίσι: τίνι VM 23 ὀχυροῦται Φ (ὠ- V ὁ- M) 28 βιώσεται ΦZ: om Ψv 29 γανύμενος M (γανν- M² ut vid) ἐπιγαννύμενος ceteri v correxi

ταύτης καθάψαιτο, ἢ διάζευξιν τῶν φιλτάτων ἢ ζημίαν τῶν προσόντων ἤ τινα πήρωσιν τῆς σωματικῆς εὐκληρίας ἐκ πονηρᾶς τινος συντυχίας ἐπάγουσα, τότε τῇ ὑπεξαιρέσει τοῦ εὐφραίνοντος ἡ ἐναντία διάθεσις γίνεται, ἣν πένθος προσαγορεύομεν. οὐκοῦν ἀληθὴς ὁ ἀποδεδομένος περὶ αὐτοῦ λόγος, ὅτι πένθος ἐστὶν αἴσθησίς τις ἀλγεινὴ τῆς τῶν εὐφραινόντων στερήσεως. εἰ δὴ νενόηται ἡμῖν τὸ ἀνθρώπινον πένθος, γενέσθω τις ὁδηγία τῶν ἀγνοουμένων τὰ πρόδηλα, ὡς ἂν φανερὸν γένοιτο τί τὸ μακαριζόμενόν ἐστι πένθος ᾧ ἐπακολουθεῖ ἡ παράκλησις. εἰ γὰρ ἡ τῶν προσόντων ἀγαθῶν στέρησις ἐνταῦθα τὸ πένθος ποιεῖ, οὐκ ἂν δέ τις τοῦ ἀγνοουμένου τὴν ζημίαν ἀπολοφύραιτο. γνῶναι προσήκει πρότερον αὐτὸ τὸ ἀγαθὸν ὅ τί ποτέ ἐστι κατ' ἀλήθειαν, εἶθ' οὕτως τὴν ἀνθρωπίνην φύσιν κατανοῆσαι. διὰ γὰρ τούτου συμβήσεται τὸ μακαριζόμενον πένθος κατορθωθῆναι. οἷον γάρ ἐστιν ἐπὶ τῶν ἐν σκότῳ βιοτευόντων, ὅταν ὁ μὲν ἐντεχθῇ τῷ ζόφῳ, ὁ δὲ τῇ ἀπολαύσει τοῦ ἔξω φωτὸς συνειθισμένος ἐξ ἐπηρείας τινὸς κατάκλειστος γένηται, οὐχ ὁμοίως ἀμφοτέρων ἡ τῶν παρόντων καθάπτεται συμφορά—ὁ μὲν γὰρ εἰδὼς οὗ ἐστέρηται βαρεῖαν ποιεῖται τοῦ φωτὸς τὴν ζημίαν, ὁ δὲ μηδὲ ὅλως ἐγνωκὼς τὴν τοιαύτην χάριν ἀλύπως διαβιώσεται, διὰ τὴν συντροφίαν τοῦ ζόφου μηδενὸς ἐκπεπτωκέναι τῶν ἀγαθῶν λογιζόμενος· ἐκ δὲ τούτου τὸν μὲν ἡ ἐπιθυμία τῆς τοῦ φωτὸς ἀπολαύσεως εἰς πᾶσαν ἄξει μηχανὴν καὶ ἐπίνοιαν τοῦ πάλιν ἰδεῖν οὗ ἐξ ἐπηρείας ἀπεστερήθη, ὁ δὲ καταγηράσει ἐν τῷ ζοφώδει βίῳ διὰ τὸ μὴ ἐγνωκέναι τὸ βέλτιον, ἀγαθὸν ἑαυτῷ τὸ παρὸν κρίνων—οὕτω καὶ ἐπὶ τοῦ προκειμένου

2 τινὰς πηρώσεις VM 4 γίνεται: ἐπιδείκνυται VM ἐπιγίνεται S ἣν: ἡ VM 4-5 προσαγορευομένη VM 5 ἀποδεδειγμένος VM (cf 112, 29) 7 εἰ δή: εἰ δὲ V(δε V)M ἤδη W 10 εἰ γὰρ ἡ: ἡ γὰρ VM 12 ἀπολοφύρεται VM ἀπωλοφύρετο W 13 οὐ καὶ ἐκπεπτώκαμεν ante εἶθ' add S 14 τὴν τοῦ ἀγαθοῦ τούτου διαζευχθεῖσαν post φύσιν add S τοῦτο Ψ(τούτου O² ut vid)v 15 ἐὰν ἐπιγνῶμεν οὐ κεχωρίσμεθα ante οἷον add S 16 βιωτευόντων Ψ (in βιοτ- corr O et K² ut vid) ἐτέχθη V ἐτύχθη M ἐν ante τῷ add VM 17 συνηθισμένος Φ 21 βιώσεται VM 22 τροφίαν v 26 ἐν SZ: om ΦΨv ζοφώδει βίῳ WSZ: ζόφω διὰ βίου VM ζόφῳ διαβιῶν Ψv (cf 104, 9 ζοφῶδες)

νοήματος ὁ τὸ ἀληθῶς ἀγαθὸν κατιδεῖν ἰσχύσας, ἔπειτα 1225 M. τὴν πτωχείαν τῆς ἀνθρωπίνης φύσεως κατανοήσας, ἐν συμφορᾷ τὴν ψυχὴν πάντως ἕξει, τὸ μὴ εἶναι ἐν τῷ ἀγαθῷ ἐκείνῳ τὸν παρόντα βίον πένθος ποιούμενος. οὐκοῦν οὐ τὴν λύπην μοι δοκεῖ μακαρίζειν ὁ λόγος ἀλλὰ τὴν εἴδησιν τοῦ ἀγαθοῦ, ᾗ τὸ τῆς λύπης πάθος ἐπισυμβαίνει διὰ τὸ μὴ παρεῖναι τῷ βίῳ τὸ ζητούμενον.

Ἀκόλουθον τοίνυν ἐξετάσαι τί ποτε ἄρα ἐστὶν ἐκεῖνο τὸ φῶς ᾧ τὸ ζοφῶδες τοῦτο τῆς ἀνθρωπίνης φύσεως σπήλαιον ἐν τῷ παρόντι βίῳ οὐ καταυγάζεται. ἢ τάχα οὐ πρὸς τὸ ἀνήνυτόν τε καὶ ἀκατάληπτον ἡ ἐπιθυμία βλέπει; τίς γὰρ ἐν ἡμῖν λογισμὸς τοιοῦτος ὡς ἀνιχνεῦσαι τοῦ ζητουμένου τὴν φύσιν; τίς ἐξ ὀνομάτων τε καὶ ῥημάτων σημασία τοιαύτη ὡς ἀξίαν ἡμῖν ἔννοιαν τοῦ ὑπερκειμένου φωτὸς ἐμποιῆσαι; πῶς ὀνομάσω τὸ ἀθέατον; πῶς παραστήσω τὸ ἄϋλον; πῶς δείξω τὸ ἀειδές; πῶς διαλάβω τὸ ἀμέγεθες, τὸ ἄποσον, τὸ ἄποιον, τὸ ἀσχημάτιστον, τὸ μήτε τόπῳ μήτε χρόνῳ ἐνευρισκόμενον, τὸ ἐξώτερον παντὸς περασμοῦ καὶ πάσης ὁριστικῆς φαντασίας, οὗ ἔργον ζωὴ καὶ ἡ πάντων τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων ὑπόστασις, περὶ ὃ πᾶν ὑψηλὸν νόημά τε καὶ ὄνομα θεωρεῖται, θεότης, βασιλεία, δύναμις, ἀϊδιότης, ἀφθαρσία, χαρά τε καὶ ἀγαλλίαμα καὶ πᾶν ὅτι πέρ ἐστιν ἐν ὕψει νοούμενόν τε καὶ λεγόμενον; πῶς τοίνυν ἔστι καὶ διὰ ποίων λογισμῶν τὸ τοιοῦτον ἡμῖν ἀγαθὸν ὑπ' ὄψιν ἐλθεῖν, τὸ θεώμενον καὶ μὴ βλεπόμενον, τὸ πᾶσι τοῖς οὖσι τὸ εἶναι παρεχόμενον, αὐτὸ δὲ ἀεὶ ὂν καὶ τοῦ γενέσθαι οὐ προσδεόμενον;

Ἀλλ' ὡς ἂν μὴ μάτην ὁ λόγος κάμνοι τοῖς ἀχωρήτοις ἑαυτὸν ἐπεκτείνων, τῶν μὲν ὑπερκειμένων ἀγαθῶν τὴν φύσιν,

9-10 cf Plat Resp 514A sqq

1 ἰδεῖν κατισχύσας VM (cf 105, 3 κατιδεῖν) 3 τὸ WS: τῷ VMΨZ (ut vid)v (cf 109, 7-10) 8 ἐκεῖνό ἐστι Φ 10 οὐ alt om ΦZ 16 τὸ ἄποσον WΨZ: om VM 16-17 τὸ ἄποιον om WZ μήτε pr: μὴ VM 17-18 εὑρισκόμενον VMΨv 18 περασμοῦ ESZ: πειρασμοῦ ΦΨ (in περ- corr VO) 19-20 ἡ ante ὑπόστασις coll VM 24 ἡμῶν v ἡμῖν ante ἐλθεῖν coll VM θεωρούμενον VM

ὡς ἀμήχανον ὃν τὸ τοιοῦτον ὑπὸ κατάληψιν ἐλθεῖν, πολυπραγμονοῦντες παυσώμεθα, τοσοῦτον μόνον ἐκ τῶν ζητηθέντων κερδάναντες ὅσον δι' αὐτοῦ τοῦ μὴ δυνηθῆναι κατιδεῖν τὸ ζητούμενον ἔννοιάν τινα τοῦ μεγέθους τῶν ζητουμένων ἀνατυπώσασθαι. ὅσῳ δὲ τῆς γνώσεως ἡμῶν ὑψηλότερον εἶναι τὸ ἀγαθὸν τῇ φύσει πιστεύομεν τοσούτῳ μᾶλλον τὸ πένθος ἑαυτοῖς ἐπιτείνομεν, ὅτι τοιοῦτόν ἐστι καὶ τοσοῦτον τὸ ἀγαθὸν οὗ διεζευγμένοι τυγχάνομεν ὡς μηδὲ τὴν γνῶσιν αὐτοῦ χωρεῖν δύνασθαι. τούτου μέντοι τοῦ ὑπεραίροντος πᾶσαν δύναμιν καταληπτικὴν ἐν μετουσίᾳ ποτὲ ἦμεν οἱ ἄνθρωποι, καὶ τοσοῦτον ἦν ἐν τῇ φύσει ἡμῶν ἐκεῖνο τὸ ἀγαθὸν τὸ ὑπὲρ πᾶν νόημα ὡς ἄλλο ἐκεῖνο τὸ ἀνθρώπινον εἶναι δοκεῖν, τῇ ἀκριβεστάτῃ ὁμοιώσει κατὰ τὴν εἰκόνα τοῦ πρωτοτύπου μεμορφωμένον. ἃ γὰρ νῦν περὶ ἐκείνου στοχαστικῶς θεωροῦμεν ταῦτα πάντα καὶ περὶ τὸν ἄνθρωπον ἦν, ἀφθαρσία τε καὶ μακαριότης, καὶ τὸ αὐτοκρατὲς καὶ
1228 M. ἀδέσποτον, τό τε ἄλυπον καὶ ἀπραγμάτευτον τῆς ζωῆς, καὶ ἡ ἐν θειοτέροις διαγωγή, καὶ τὸ γυμνῇ τε καὶ καθαρᾷ παντὸς προκαλύμματος τῇ διανοίᾳ πρὸς τὸ ἀγαθὸν βλέπειν. ταῦτα γὰρ πάντα δι' ὀλίγων ῥημάτων ὁ τῆς κοσμογενείας ἡμῖν ὑπαινίττεται λόγος, κατ' εἰκόνα θεοῦ λέγων πεπλάσθαι τὸν ἄνθρωπον καὶ ἐν τῷ παραδείσῳ ζῆν καὶ τῶν ἐκεῖ πεφυτευμένων κατατρυφᾶν. τῶν δὲ φυτῶν ἐκείνων καρπὸς ζωὴ καὶ γνῶσις καὶ τὰ τοιαῦτά ἐστιν. εἰ δὴ ταῦτα ἐν ἡμῖν ἦν, πῶς οὖν ἔστι διὰ συγκρίσεως ἀντιπαραθεωροῦντα τῇ τότε μακαριότητι τὴν παροῦσαν νῦν ἀθλιότητα μὴ ἐπιστενάζειν τῇ συμφορᾷ; τὸ ὑψηλὸν τεταπείνωται, τὸ κατ' εἰκόνα τοῦ ἐπουρανίου γενόμενον ἀπεγεώθη, τὸ βασιλεύειν τεταγμένον

22-24 cf Gen 2, 8-9   24 sqq cf Gen 3, 16 sqq

1 ὃν om VM   3 δι' αὐτοῦ τοῦ: διὰ τοῦ VM   διὰ τούτου W   4 ἄφραστον post ζητουμένων add VM   7 ἑαυτοῖς: ἐν αὐτοῖς Ψv ἐπιτείνωμεν O²v   16 ἀφθαρσίᾳ τε καὶ μακαριότητι v   17 τὸ ante ἀδέσποτον add Ψv (cf 106, 4-5)   24 τὰ: ὅσα VM   εἰ δή: εἴδη Φ(ειδη W)Ψ(deest K)Z post quod interpunxerunt omnes   εἰ δὲ v correxi   25 οὖν ΨZ: om Φ   26 ἐπισυστενάζειν VM (cf Rom 8, 22)

κατεδουλώθη, τὸ εἰς ἀθανασίαν κτισθὲν κατεφθάρη θανάτῳ, τὸ ἐν τρυφῇ τοῦ παραδείσου διάγον εἰς τὸ νοσῶδες καὶ ἐπίπονον τοῦτο μετῳκίσθη χωρίον, τὸ τῇ ἀπαθείᾳ σύντροφον τὸν ἐμπαθῆ καὶ ἐπίκηρον ἀντηλλάξατο βίον, τὸ ἀδέσποτόν τε καὶ αὐτεξούσιον νῦν ὑπὸ τοιούτων καὶ τοσούτων κακῶν κυριεύεται ὡς μηδὲ ῥᾴδιον εἶναι τοὺς τυράννους ἡμῶν ἀπαριθμήσασθαι. ἕκαστον γὰρ τῶν ἐν ἡμῖν παθῶν ὅταν ἐπικρατήσῃ δεσπότης τοῦ δουλωθέντος γίνεται καί, καθάπερ τις τύραννος, καταλαβὼν τῆς ψυχῆς τὴν ἀκρόπολιν, δι' αὐτῶν τῶν ὑποχειρίων κακοῖ τὸ ὑπήκοον, ὑπηρέταις τοῖς ἡμετέροις λογισμοῖς πρὸς τὸ δοκοῦν ἑαυτῷ καταχρώμενος· οὕτως ὁ θυμός, οὕτως ὁ φόβος, ἡ δειλία, τὸ θράσος, τὸ κατὰ λύπην τε καὶ τὸ καθ' ἡδονὴν πάθος, μῖσος, ἔρις, ἀνέλεος ἀπήνεια, φθόνος, κολακεία, μνησικακία τε καὶ ἀναλγησία, καὶ πάντα τὰ κατὰ τὸ ἐναντίον ἐν ἡμῖν νοούμενα πάθη τυράννων ἐστί τινων καὶ δεσποτῶν ἀπαρίθμησις τῶν πρὸς τὸ ἴδιον κράτος τὴν ψυχὴν οἷόν τινα δοριάλωτον καταδουλούντων. εἰ δέ τις καὶ τὰς περὶ τὸ σῶμα συμφορὰς ἀναλογίζοιτο τὰς τῇ φύσει ἡμῶν συμπεπλεγμένας τε καὶ συντρεφομένας, τὰς ποικίλας λέγω καὶ πολυτρόπους τῶν νοσημάτων ἰδέας, ὧν πάντων τὸ κατ' ἀρχὰς ἀπείρατον ἦν τὸ ἀνθρώπινον, πολὺ μᾶλλον πλεονάσει τὸ δάκρυον, ἐκ παραλλήλου θεωρῶν ἀντὶ τῶν ἀγαθῶν τὰ λυπηρὰ καὶ ἀντιπαρατιθεὶς τὰ κακὰ τοῖς βελτίοσιν. τοῦτο οὖν ἔοικεν ἐν ἀπορρήτῳ διδάσκειν ὁ μακαρίζων τὸ πένθος, τὸ πρὸς τὸ ἀληθινὸν ἀγαθὸν τὴν ψυχὴν βλέπειν μηδὲ τῇ παρούσῃ ἀπάτῃ τοῦ βίου καταβαπτίζεσθαι. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὔτε ἀδακρυτὶ ζῆν τὸν ἐπεσκεμμένον

6 sqq cf Plat Resp 560B sqq; 577C sqq; Tim 70A; Phil Iud Leg all II, 91-92; Ioh 8, 34; Rom 6, 17 et 20; 16, 18; Tit 3, 3.

2 διάγων WM 5 τοσούτων τε καὶ τοιούτων Φ(τε om W)Z 6 καὶ ante τοὺς add VM 10 χρῆται ante τοῖς add ΦZ (ut vid) 12 καὶ post θράσος add VM 13 τε om VM τὸ ante καθ' om VM ἔρως ΦZ ἀνήλεος V ἔλεος WZ ἀνέλεως O 14 ἀπήνεια om Z 15 ἐν om VMK 17 δορυάλωτον Mv 19 συστρεφομένας OK(ν supra σ alt sscr K)v συνστρεφομένας R 23 ἀντιπαραθεὶς VM 27 οὐκ ἔστιν ΦZ: om Ψv (cf ad 79, 7) οἴεσθαι post ζῆν add VM

δι᾽ ἀκριβείας τὰ πράγματα οὔτε μὴ ἐν λυπηροῖς εἶναι νομίζειν τὸν ταῖς βιωτικαῖς ἡδοναῖς ἐμβαθύνοντα· καθάπερ ἐπὶ τῶν ἀλόγων τὸ τοιοῦτον ἔστιν ἰδεῖν, οἷς ἐλεεινὴ μὲν ἡ τῆς φύσεώς ἐστι κατασκευή — τί γὰρ ἐλεεινότερον τῆς τοῦ λόγου στερήσεως; — αἴσθησις δὲ τῆς συμφορᾶς αὐτοῖς οὐδεμία, ἀλλὰ κατά τινα ἡδονὴν κἀκείνοις ἡ ζωὴ διεξάγεται—καὶ ὁ ἵππος γαυριᾷ καὶ ὁ ταῦρος κονίζεται καὶ ὁ σῦς φρίσσει τὴν λοφιὰν καὶ οἱ σκύλακες παίζουσι καὶ διασκιρτῶσιν οἱ μόσχοι καὶ ἕκαστον τῶν ζῴων ἔστιν ἰδεῖν διά τινων τεκμηρίων τὴν ἡδονὴν ἐνδεικνύμενον, οἷς εἴ τις κατανόησις ἦν τῆς τοῦ λόγου χάριτος οὐκ ἂν τὸν κωφὸν αὐτῶν καὶ ταλαίπωρον βίον ἐν ἡδονῇ διετίθεντο—οὕτως καὶ ἐπὶ τῶν ἀνθρώπων οἷς οὐδεμία τῶν ἀγαθῶν ἐστι γνῶσις ὧν ἡ φύσις ἡμῶν ἀπεστέρη-
1229 M. ται, τούτοις καθ᾽ ἡδονὴν τῆς παρούσης ζωῆς ἡ διαγωγή.

Ἀκολουθεῖ δὲ τῷ τοῖς παροῦσιν ἥδεσθαι τὸ μὴ ζητεῖν τὰ βελτίω. ὃ δὲ μὴ ζητῶν οὐκ ἂν εὕροι τὸ μόνοις τοῖς ζητοῦσι παραγινόμενον. οὐκοῦν διὰ τοῦτο μακαρίζει ὁ λόγος τὸ πένθος, οὐ δι᾽ ἑαυτὸ κρίνων εἶναι μακάριον ἀλλὰ διὰ τὸ ἐξ ἐκείνου παραγινόμενον. δείκνυσι δὲ τοῦ λόγου ἡ συζυγία ὅτι τῆς πρὸς τὴν παράκλησιν ἀναφορᾶς τὸ πενθεῖν αὐτοῖς ἐστι μακάριον. Μακάριοι γάρ, φησίν, οἱ πενθοῦντες, καὶ οὐκ ἔστησεν ἐν τούτῳ τὸν λόγον ἀλλὰ προσέθηκεν, Ὅτι αὐτοὶ παρακληθήσονται. ὅ μοι δοκεῖ προκατανενοηκὼς ὁ μέγας Μωϋσῆς—μᾶλλον δὲ ὁ ἐν ἐκείνῳ ταῦτα διατάσσων λόγος—ἐν ταῖς μυστικαῖς τοῦ πάσχα παρατηρήσεσιν ἄζυμον μὲν αὐτοῖς ἄρτον ἐν ταῖς ἑορτασίμοις ἡμέραις νομοθετῆσαι, ὄψον δὲ τῇ βρώσει πικρίδας ποιήσασθαι ὡς ἂν διὰ τῶν τοιούτων

26 Ex 12, 8

1 μὴ M: om VWΨZv 3 ζώων ante τὸ add VM (cf ad 84, 20) 6 συνεξάγεται VM 14 ἐστι ante ζωῆς add VM post ζωῆς add W ἡ ante τῆς coll WΨv 15 τῷ O^{2}AS: τὸ ΦΨZ 16 τοῖς om v 17 παραγενόμενον Ψ(-γιν- O^{2})v ὁ λόγος μακαρίζει Ψv 18 αυτὸ V αὐτὸ M ἑαυτοῦ W μακάριον εἶναι VM 19 παραγενόμενον Ψv 20 τῆς: διὰ τὴν VM τῇ W ἀναφορὰν VM ἀναφορᾶ W πένθος VM αὐτοῖς om ΦZ 24 ταῦτα ἐν ἐκείνω VM διατάξας VM 25-26 ἄρτον αὐτοῖς VM

μάθοιμεν αἰνιγμάτων ὅτι οὐκ ἔστι τῆς μυστικῆς ἐκείνης ἑορτῆς μετασχεῖν ἄλλως εἰ μὴ αἱ πικρίδες τοῦ βίου τούτου τῇ ἁπλῇ καὶ ἀζύμῳ ζωῇ ἑκουσίως καταμιγνύοιντο. διὰ τοῦτο καὶ ὁ μέγας Δαβίδ, καίτοι τὸ ἀκρότατον τῆς ἀνθρωπίνης εὐκληρίας μέτρον, λέγω δὲ τὴν βασιλείαν, περὶ ἑαυτὸν βλέπων, δαψιλῶς ἐπιβάλλει τῶν πικρίδων τῇ ἰδίᾳ ζωῇ, στενάζων ἐν οἰμωγῇ καὶ θρηνῶν τὴν παράτασιν τῆς ἐν σαρκὶ παροικίας καὶ ἐκλείπων ὑπὸ τῆς τῶν μειζόνων ἐπιθυμίας. νῦν μὲν γάρ φησιν, Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη· ἑτέρωθι δὲ πρὸς τὸ κάλλος τῶν θείων σκηνωμάτων ἀτενὲς ἀποβλέπων, ἐκλείπειν ὑπὸ τῆς ἐπιθυμίας φησίν, τὸ ἐν ἐσχάτοις ἐκεῖ τετάχθαι τοῦ πρωτεύειν ἐν τοῖς παροῦσι προτιμότερον ἑαυτῷ κρίνων. εἰ δέ τις ἀκριβέστερον κατανοῆσαι βούλοιτο τοῦ μακαριζομένου τούτου πένθους τὴν δύναμιν, ἐπισκεψάσθω ἑαυτῷ ἐν τῷ κατὰ τὸν Λάζαρον καὶ τὸν πλούσιον διηγήματι, ἐν ᾧ γυμνότερον τὸ τοιοῦτον δόγμα ἡμῖν σαφηνίζεται. Μνήσθητι γάρ, φησὶν ὁ Ἀβραὰμ πρὸς τὸν πλούσιον, ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, ὁμοίως δὲ καὶ ὁ Λάζαρος τὰ κακά· διὰ τοῦτο οὗτος μὲν παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. ἔοικε γάρ, ἐπειδὴ τῆς ἀγαθῆς τοῦ θεοῦ περὶ τὸν ἄνθρωπον οἰκονομίας ἀπέστησεν ἡμᾶς ἡ ἀβουλία, μᾶλλον δὲ ἡ κακοβουλία· τοῦ γὰρ θεοῦ ἀμιγὲς τοῦ κακοῦ τὸ ἀγαθὸν ἐν τῇ ἀπολαύσει ἡμῖν νομοθετήσαντος καὶ καταμιγνύναι τῷ καλῷ τὴν τοῦ κακοῦ πεῖραν ἀπαγορεύσαντος, ἐπειδὴ ἡμεῖς ὑπὸ λαιμαργίας ἑκουσίως τοῦ ἐναντίου ἐνεφορήθημεν, λέγω δὲ τῆς τοῦ θείου λόγου παρακοῆς ἀπογευσάμενοι, διὰ τοῦτο χρὴ πάντως ἐν ἀμφοτέροις γενέσθαι τὴν ἀνθρωπίνην φύσιν
1232 M. καὶ μετασχεῖν ἐν μέρει τοῦ τε λυποῦντος καὶ τοῦ εὐφραίνοντος.

9 Ps 119, 5 11 Ps 83, 2 sqq 17 Luc 16, 25

3 ἀπαλῇ (sic) VM κατεμίγνυτο V κατεμίγνυντο M 5 δὲ WZ: δὴ VMΨv 6 ἰδίᾳ: ἑαυτοῦ Ψv 9 νῦν μὲν γάρ om Ψv 11 ἐκλιπεῖν v 13 βούλοιτο κατανοῆσαι VM 15 ἑαυτῷ om ΦZ τὸν ante πλούσιον om VM 16 ἡμῖν post γυμνότερον coll VM 18-19 ὁμοίως—κακά: καὶ λάζαρος ὁμοίως τὰ κακά VM (cf test) 20 ἀγαθῆς om VM 22 γὰρ post θεοῦ coll VM 23 ἡμῶν Ψv 26 δὲ: δὴ VMO(sed η e corr O^2 ut vid)K 27 γίνεσθαι VM

δύο δὲ ὄντων βίων καὶ διπλῆς τῆς ζωῆς καθ' ἑκάτερον τῶν βίων ἰδιαζόντως θεωρουμένης, ὡσαύτως δὲ καὶ εὐφροσύνης διπλῆς, τῆς μὲν ἐν τῷ βίῳ τούτῳ, τῆς δὲ ἐν τῷ κατ' ἐλπίδας ἡμῖν προκειμένῳ, μακαριστὸν ἂν εἴη τὴν τῆς εὐφροσύνης μοῖραν τοῖς ἀληθινοῖς ἀγαθοῖς εἰς τὸν ἀΐδιον ἀποθέσθαι βίον, τῆς δὲ λύπης ἐκπληρῶσαι τὴν λειτουργίαν ἐν τῇ βραχείᾳ ταύτῃ καὶ προσκαίρῳ ζωῇ, ζημίαν ποιούμενον οὐ τὸ στερηθῆναί τινος τῶν κατὰ τὸν βίον τοῦτον ἡδέων ἀλλὰ τὸ διὰ τῆς ἀπολαύσεως τούτων ἐν ἀποπτώσει τῶν ἀμεινόνων γενέσθαι. οὐκοῦν εἰ μακαριστόν ἐστι τὸ ἐν τοῖς ἀπείροις αἰῶσιν ἀτέλεστόν τε καὶ εἰσαεὶ παρατεινομένην τὴν εὐφροσύνην ἔχειν, δεῖ δὲ πάντως γεύσασθαι καὶ τῶν ἐναντίων τὴν ἀνθρωπίνην φύσιν, οὐκέτι χαλεπόν ἐστι συνιδεῖν τοῦ λόγου τὸ βούλημα, διὰ τί μακάριοι οἱ νῦν πενθοῦντες· αὐτοὶ γὰρ εἰς τοὺς ἀπείρους αἰῶνας παρακληθήσονται. ἡ δὲ παράκλησις ἐκ τῆς τοῦ παρακλήτου μετουσίας γίνεται· ἰδία γὰρ τοῦ πνεύματος ἐνέργεια ἡ τῆς παρακλήσεως χάρις ἐστίν, ἧς καὶ ἡμεῖς ἀξιωθείημεν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Δ'

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Τοὺς στομαχοῦντας καὶ κακοσίτους φασὶν οἱ τῆς ἰατρικῆς ἐπιστήμονες, πονηρῶν τινων χυμῶν τε καὶ περιττωμάτων

16-18 cf Ioh 14, 16-17 et 26; 15, 26; 16, 7 sqq; Act 9, 31

1 τῆς om VM 3 ἐν τῷ alt: ἐκ τῶν VM 4 προκειμένων VM 5 ἐν ante τοῖς add VM 6 ἐκπλῆσαι Φ 8 τούτων VW (in τοῦτον corr W) 13 ἐστιν ἰδεῖν Φ 14 νῦν om VM 15 αὐτοὶ γάρ: ὅτι αὐτοὶ VM 17 ἁγίου post τοῦ add ΦZ ἐνέργεια ante τοῦ coll Φ 17-18 ἐστι χάρις VM 19 τῶν αἰώνων ΨZ: om Φ (εἰς—ἀμήν om M) ἐτελεώθη λόγος γ' post ἀμήν add Z 20 λόγος δ' E: τοῦ αὐτοῦ εἰς τοὺς μακαρισμοὺς ὁμιλία δ' W ὁμιλία δ' post χορτασθήσονται 22 coll AS om VMΨ (sed λόγος λ' in marg scr K) λόγος δ' περὶ τοῦ Z 21 τοῦ αὐτοῦ ante μακάριοι add A 23 ἀστομαχοῦντας VM στομαχῶντας W κακοσιτοῦντας VM

ἐπὶ τὴν ἄνω γαστέρα συρρυέντων, ἀεὶ δοκεῖν πλήρεις τε καὶ διακορεῖς εἶναι, καὶ διὰ τοῦτο πρὸς τὴν ὠφέλιμον τροφὴν ἀλλοτρίως ἔχειν, τῆς φυσικῆς αὐτοῖς ὀρέξεως ἐν τῇ νόθῳ πλησμονῇ μαρανθείσης· εἰ δέ τις αὐτοῖς ἐξ ἰατρικῆς ἐπιμέλεια προσαχθείη, διά τινος τμητικῆς φαρμακοποσίας ἀποκλυσθέντων τῶν ἐναπειλημμένων ταῖς τοῦ στομάχου κοιλότησιν, οὕτως συμβαίνειν, τοῦ ἀλλοτρίου μηκέτι διοχλοῦντος τὴν φύσιν, τῆς ὠφελούσης τε καὶ τροφίμου βρώσεως αὐτοῖς ἐπανιέναι τὴν ὄρεξιν· καὶ τοῦτο τῆς ὑγιείας εἶναι σημεῖον, τὸ μηκέτι κατηναγκασμένως ἀλλὰ μετ' ἐπιθυμίας τε καὶ ὁρμῆς τὴν βρῶσιν προσίεσθαι. τί οὖν μοι βούλεται τὸ προοίμιον; ἐπειδὴ προϊὼν δι' ἀκολουθίας ὁ πρὸς τὰ ὑψηλότερα τῆς τῶν μακαρισμῶν κλίμακος χειραγωγῶν ἡμᾶς λόγος, ὁ κατὰ τὴν τοῦ προφήτου φωνὴν τὰς καλὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ ἡμῶν διατιθέμενος, τοιαύτην ἡμῖν μετὰ τὰς προδιανυσθείσας ἀνόδους τετάρτην προδείκνυσιν ἄλλην ἀνάβασιν λέγων, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται, καλῶς ἔχειν οἶμαι, τὸ διακορές τε καὶ πλήσμιον τῆς ψυχῆς ἐκκαθάραντας, ὡς ἔστι δυνατόν, τῆς τοιαύτης βρώσεώς τε καὶ πόσεως τὴν μακαριστὴν ὄρεξιν
1233 M. ἡμῖν αὐτοῖς ἐμποιῆσαι. οὔτε γὰρ ἰσχῦσαι δυνατόν ἐστι τὸν ἄνθρωπον μὴ τῆς ἀρκούσης τροφῆς ὑποστηριζούσης τὴν δύναμιν οὔτε δίχα τοῦ φαγεῖν ἐμπλησθῆναι τροφῆς οὔτε τραφῆναι χωρὶς ὀρέξεως. ἐπεὶ οὖν ἀγαθόν τι κατὰ τὴν ζωήν ἐστιν ἡ δύναμις, αὕτη δὲ τῷ ἀρκοῦντι συντηρεῖται κόρῳ, ὁ δὲ κόρος διὰ βρώσεως γίνεται, τὸ δὲ φαγεῖν ἐξ ὀρέξεως, μακαριστὸν ἂν εἴη τοῖς ζῶσιν ἡ ὄρεξις, ἀρχή τε καὶ αἰτία τῆς ἐν ἡμῖν γινομένη δυνάμεως. ὥσπερ δὲ κατὰ τὴν αἰσθητὴν

13-14 Ps 83, 6

4 ἐμπειρίας post ἰατρικῆς add VM   5 προσαχθείη: προσγένηται VM   5-6 ἀποκριθέντων VM   7 συμβαίνει V   συμμένει M   ἐνοχλοῦντος VM   15 προανυσθήσας V   προσδιανυσθείσας W   π- in init col deest M   18 οἶμαι ἔχειν VM   19 πλησμονικὸν Ψ'v   ἐκκαθάραντας VMR (ex -ες corr R): ἐκκαθήραντας WK ἐκκαθίραντες O (-ας O²) (cf 142, 21-22; 144, 21)

ταύτην τροφὴν οὐ τῶν αὐτῶν πάντες ἐφίενται ἀλλὰ μερίζεται πολλάκις πρὸς τὰ εἴδη τῶν ἐδωδίμων ἡ τῶν μετεχόντων ἐπιθυμία, καὶ ὁ μέν τις ἐπιτέρπεται τοῖς γλυκαίνουσιν, ἄλλος πρὸς τὰ δριμύσσοντά τε καὶ θερμαίνοντα τὴν ὁρμὴν ἔχει, ἕτερος δὲ τοῖς ἁλμώδεσι καὶ ἄλλος τοῖς παραστύφουσιν ἥδεται—συμβαίνει δὲ πολλάκις μὴ κατὰ τὸ λυσιτελοῦν ἐγγίνεσθαι τὴν ὁρμὴν ἑκάστῳ τῆς βρώσεως· κατὰ γάρ τινα κράσεως ἰδιότητα πρός τι πάθος ἐπιρρεπῶς τις ἔχων τρέφει τὴν νόσον τῇ τῶν ἀκαταλλήλων βρωμάτων ποιότητι· εἰ δὲ πρὸς τὰ ὠφελοῦντα τὴν ὁρμὴν σχοίη, πάντως ἐν ὑγιείᾳ βιώσεται, τῆς τροφῆς αὐτῷ συντηρούσης τὴν εὐεξίαν—οὕτως καὶ ἐπὶ τῆς ψυχικῆς τροφῆς οὐ πάντων πρὸς τὸ αὐτὸ ῥέπουσιν αἱ ἐπιθυμίαι. οἱ μὲν γὰρ δόξης ἢ πλούτου ἤ τινος κοσμικῆς περιφανείας ὀρέγονται, ἄλλοις περὶ τὴν τράπεζαν ἄσχολός ἐστιν ἡ ὄρεξις, ἕτεροι τὸν φθόνον ὥς τινα δηλητηριώδη τροφὴν προθύμως ἀναλαμβάνουσιν. εἰσὶ δέ τινες οἷς τὸ τῇ φύσει καλὸν ἐν ὀρέξει γίνεται· φύσει δὲ καλὸν ἀεὶ καὶ πᾶσι τοῦτό ἐστιν, ὃ μὴ ἄλλου τινὸς ἕνεκέν ἐστιν αἱρετὸν ἀλλ' αὐτὸ δι' ἑαυτὸ ἐπιθυμητόν, ἀεὶ ὡσαύτως ἔχον καὶ οὐδέποτε ἀμβλυνόμενον κόρῳ. διὰ τοῦτο μακαρίζει ὁ λόγος οὐ τοὺς ἁπλῶς πεινῶντας ἀλλ' οἷς πρὸς τὴν ἀληθῆ δικαιοσύνην ἡ ἐπιθυμία τὴν ῥοπὴν ἔχει.

Τίς οὖν ἡ δικαιοσύνη; τοῦτο γὰρ οἶμαι δεῖν πρότερον ἀνακαλυφθῆναι διὰ τοῦ λόγου ὡς ἂν τοῦ κατ' αὐτὴν κάλλους φανερωθέντος οὕτως ἐν ἡμῖν κινηθείη πρὸς τὴν ὥραν τοῦ φανέντος ἡ ὄρεξις. οὐδὲ γάρ ἐστι δυνατὸν πρὸς τὸ μὴ φαινόμενον ἐπιθυμητικῶς ἔχειν, ἀλλ' ἀργή πως ἐπὶ τὸ ἄγνωστόν ἐστιν ἡ φύσις ἡμῶν καὶ ἀκίνητος εἰ μὴ δι' ἀκοῆς ἢ ὄψεως

7-11 cf [Aristot] Prob XXX, 953a29-31; Hippocr De vet med III   12 cf Plat Prot 313C-314B   13-19 cf Aristot Eth Nic I, 5 et 7

1 τὴν alt ante τροφὴν add Ψv   ἔχομεν post τροφὴν add Ψv   3 τέρπεται VM   9 τῶν ἀκαταλλήλων WACZ: ἀκαταλλήλω τῶν V ἀκαταλλήλων τῶν M   τῶν καταλλήλων Ψ   τῶν κατ' ἀλλήλων v   12 ψυχῆς v   13 ἤ τινος: τινὸς ἢ VM   15 τινα: τι Ψ (τινα O²R²)   17 ὃ ante ἀεὶ add W   18 τοῦτό: τοιοῦτον ΦZ   19 ἑαυτὸ: αὐτὸ VM ἑαυτοῦ C   23 τίς: τί VM (cf 113, 2)   24 διὰ τοῦ λόγου: τῷ λόγῳ VM

ἔννοιάν τινα τοῦ ἐπιθυμητοῦ λάβοι. φασὶ τοίνυν τῶν ἐξητακότων τὰ τοιαῦτά τινες δικαιοσύνην εἶναι ἕξιν ἀπονεμητικὴν τοῦ ἴσου καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ. οἷον εἴ τις χρημάτων διανομῆς γένοιτο κύριος, ὁ πρὸς τὸ ἴσον βλέπων καὶ συμμετρῶν τῇ χρείᾳ τῶν μετεχόντων τὴν δόσιν δίκαιος λέγεται. καὶ εἴ τις τοῦ κρίνειν τὴν ἐξουσίαν λαβὼν μὴ πρὸς χάριν τινὰ καὶ ἀπέχθειαν τὴν ψῆφον φέροι, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος τιμωροῖτό τε τοὺς ἀξίους καὶ τὴν σῴζουσαν ψῆφον πρὸς τοὺς ἀνευθύνους φέροι καὶ τῶν λοιπῶν ἀμφισβητημάτων ἐν ἀληθείᾳ ποιοῖτο τὴν κρίσιν, καὶ οὗτος δίκαιος λέγεται. καὶ ὁ τοὺς φόρους τοῖς ὑποχειρίοις τάσσων ὅταν σύμμετρον ἐπιβάλῃ τῇ δυνάμει τὸν φόρον, καὶ οἰκίας δεσπότης καὶ πόλεως
1236 M. ἄρχων καὶ ἐθνῶν βασιλεὺς εἰ καταλλήλως ἡγοῖτο τῶν ὑποτεταγμένων ἕκαστος τούτων, μὴ ὁρμαῖς ἀλόγοις ὑπ' ἐξουσίας κινούμενος ἀλλ' ἐν εὐθύτητι τὸ ὑπήκοον κρίνων καὶ πρὸς τὰς προαιρέσεις τῶν ὑποχειρίων τῇ γνώμῃ συναρμοζόμενος—πάντα τὰ τοιαῦτα τῷ λόγῳ τῆς δικαιοσύνης ἀνατιθέασιν οἱ τῇ τοιαύτῃ ἕξει τὸ δίκαιον ὁριζόμενοι. ἐγὼ δὲ πρὸς τὸ ὕψος βλέπων τῆς θείας νομοθεσίας πλέον τι τῶν εἰρημένων ἐν τῇ δικαιοσύνῃ ταύτῃ νοεῖσθαι στοχάζομαι. εἰ γὰρ κοινὸς μὲν πρὸς πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ὁ σωτήριος λόγος, οὐ παντὸς δέ ἐστιν ἀνθρώπου τὸ ἐν τοῖς εἰρημένοις εἶναι—ὀλίγων γὰρ τὸ βασιλεύειν, τὸ ἄρχειν, τὸ δικάζειν, τὸ ἐν ἐξουσίᾳ χρημάτων ἤ τινος ἄλλης οἰκονομίας γενέσθαι· τὸ δὲ πλῆθος ἐν τοῖς ὑποχειρίοις τε καὶ οἰκονομουμένοις ἐστίν—πῶς ἄν τις δέξαιτο τὴν ἀληθῆ δικαιοσύνην ἐκείνην εἶναι, εἰ μὴ πάσῃ πρόκειται ὁμοτίμως τῇ φύσει; εἰ γὰρ σκοπὸς τῷ δικαίῳ κατὰ τοὺς ἔξωθεν λόγους τὸ ἴσον ἐστίν, ἡ δὲ ὑπεροχὴ τὸ ἄνισον ἔχει, οὐκ ἔστι τὸν ἀποδεδομένον

1 sqq cf Aristot Eth Nic V, 3-4

3 καὶ τοῦ om VM 4-5 σύμμετρον Φ (cf 11) 5 ποιούμενος post δόσιν add VM 12 ἐπιβάλλῃ VM 15 ἐν om VMΨv (cf 10) 16-17 συναρμοζόμενοι VM 21 τὴν om VM 23 προειρημένοις VM 27 εἰ: ἢ O^2Zv πάσῃ VO^2Z (ut vid): πᾶσι WMΨv (cf 21) 28 ὁ σκοπὸς Ψv (cf 125, 8) τοῦ δικαίου ΦZ

τῆς δικαιοσύνης λόγον ἀληθῆ νομίσαι, εὐθὺς τῷ κατὰ τὸν βίον ἀνίσῳ διελεγχόμενον. τίς οὖν ἡ δικαιοσύνη ἡ εἰς πάντας φθάνουσα, ἧς ἡ ἐπιθυμία κοινὴ πρόκειται παντὶ τῷ πρὸς τὴν εὐαγγελικὴν τράπεζαν βλέποντι, κἂν πλούσιός τις ᾖ, κἂν πένης, κἂν δουλεύῃ, κἂν κυριεύῃ, κἂν εὐπατρίδης, κἂν ἀργυρώνητος, οὐδεμιᾶς περιστάσεως οὔτε πλεοναζούσης οὔτε ὑποστελλούσης τοῦ δικαίου τὸν λόγον· εἰ γὰρ ἐν μόνῳ τῷ προήκοντι κατ' ἐξουσίαν τινὰ καὶ ὑπεροχὴν τὸ τοιοῦτον εὑρίσκοιτο, πῶς δίκαιος ὁ τῷ πυλῶνι τοῦ πλουσίου παρερριμμένος Λάζαρος ὁ μηδεμίαν ὕλην πρὸς τὴν τοιαύτην δικαιοσύνην ἔχων, οὐκ ἀρχήν, οὐκ ἐξουσίαν, οὐκ οἶκον, οὐ τράπεζαν, οὐκ ἄλλην τινὰ πρὸς τὸν βίον παρασκευὴν δι' ἧς ἔστι τὴν δικαιοσύνην ἐκείνην ἐργάζεσθαι; εἰ γὰρ ἐν τῷ ἄρχειν ἢ διανέμειν ἤ τι ὅλως οἰκονομεῖν τὸ δίκαιόν ἐστιν εἶναι, ὁ μὴ ὢν ἐν ἐκείνοις ἔξω τοῦ δικαίου πάντως ἐστίν. πῶς οὖν ἀξιοῦται τῆς ἀναπαύσεως ὁ μηδὲν ἐσχηκὼς τούτων δι' ὧν ἡ δικαιοσύνη κατὰ τὸν τῶν πολλῶν λόγον χαρακτηρίζεται; οὐκοῦν ζητητέα ἡμῖν ἡ δικαιοσύνη ἐκείνη ἧς ὁ ἐπιθυμήσας ἐν ἐπαγγελίᾳ τὴν ἀπόλαυσιν ἔχει. Μακάριοι γάρ, φησίν, οἱ πεινῶντες τὴν δικαιοσύνην τοῦ θεοῦ, ὅτι αὐτοὶ χορτασθήσονται.

Πολλῶν καὶ παντοδαπῶν προκειμένων εἰς μετουσίαν ἐφ' ἃ ἡ ἀνθρωπίνη φύσις τὴν ὀρεκτικὴν ὁρμὴν ἔχει, πολλῆς ἡμῖν χρεία τῆς ἐπιστήμης ὥστε ἡμῖν διακρίνειν ἐν τοῖς τοιούτοις ἐδωδίμοις τὸ τρόφιμόν τε καὶ δηλητήριον, ὡς ἂν μὴ τὸ δοκοῦν ὑπὸ τῆς ψυχῆς ἐν τροφῆς μέρει παραλαμβάνεσθαι θάνατον ἡμῖν καὶ διαφθορὰν ἀντὶ τῆς ζωῆς ἐνεργήσειεν. οὐκ ἄκαιρον δὲ ἴσως διά τινος ἑτέρου τῶν κατὰ τὸ εὐαγγέλιον

9-10 cf Luc 16, 20 16 cf Matth 11, 29

3 πρὸς: κατὰ Ψv 4 ᾖ τις Φ 5 κἂν ante κυριεύῃ: καὶ Ψ (κἂν O²) 6 οὐδεμιᾶς: οὔτε μιᾶς VM 7 περιστελλούσης VM 8 προσήκοντι Φ 10 ὁ om VM οὐδεμίαν VM 13 ἐργάσασθαι VM 15 πάντως ante τοῦ coll VM 16 ἀναπαύσεως libri Z: ἀπολαύσεως coniecit Jaeger (cf 19) 18 ἐπιθυμήσας: ἐν ἐπιθυμίᾳ γενόμενος VM 19 φησὶ post πεινῶντες coll VM πεινῶντες WORZ: πεινῶντες καὶ διψῶντες VMK 20 τοῦ θεοῦ ΦZ: om Ψv 23 ἡμῖν alt om ΦZ 25-26 περιλαμβάνεσθαι VM

ζητουμένων τὴν περὶ τούτου διαρθρῶσαι διάνοιαν. ὁ κατὰ
1237 M. πάντα κοινωνήσας ἡμῖν χωρὶς ἁμαρτίας καὶ συμμετασχὼν ἡμῖν τῶν αὐτῶν παθημάτων τὴν πεῖναν οὐκ ἔκρινεν ἁμαρτίαν οὐδὲ ἀπώσατο τῆς ἑαυτοῦ πείρας τὸ κατ᾽ αὐτὴν πάθος ἀλλ᾽ ἐδέξατο τὴν ὀρεκτικὴν τῆς φύσεως ὁρμὴν τὴν ἐπὶ τῇ τροφῇ γινομένην. ἀπόσιτος γὰρ τεσσαράκοντα ἡμερῶν διαμείνας ὕστερον ἐπείνασεν· ἔδωκε γὰρ ὅτε ἐβούλετο τῇ φύσει καιρὸν τὰ ἑαυτῆς ἐνεργῆσαι. ἀλλ᾽ ὁ τῶν πειρασμῶν εὑρετής, ὅτε ἔγνω τὸ κατὰ πεῖναν πάθος καὶ ἐν ἐκείνῳ γενόμενον, συνεβούλευσε λίθοις τὴν ὄρεξιν δεξιώσασθαι· τοῦτο δέ ἐστι τὸ παρατρέψαι τὴν ἐπιθυμίαν ἐκ τῆς κατὰ φύσιν τροφῆς ἐπὶ τὰ ἔξω τῆς φύσεως. Εἰπὲ γάρ, φησίν, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. τί γὰρ ἠδίκησεν ἡ γεωργία; τίνος δὲ χάριν ἐβδελύχθη τὰ σπέρματα ὡς τὴν ἀπὸ τούτων ἀτιμασθῆναι τροφήν; τί δὲ καταγινώσκεται ἡ τοῦ δημιουργοῦ σοφία ὡς οὐ δεόντως διὰ τῶν σπερμάτων τὸ ἀνθρώπινον τρέφουσα; εἰ γὰρ ὁ λίθος εἰς τροφὴν οἰκειότερος νῦν ἀναφαίνεται, ἄρα τῆς δεούσης περὶ τὴν ἀνθρωπίνην ζωὴν προμηθείας ἡ τοῦ θεοῦ σοφία διήμαρτεν. Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ταῦτα λέγει μέχρι τοῦ νῦν τοῖς ὑπὸ τῆς ἰδίας πειραζομένοις ὀρέξεως, καὶ λέγων ὡς ἐπὶ τὸ πολὺ πείθει ἐκ λίθων σιτοποιεῖσθαι τοὺς πρὸς αὐτὸν βλέποντας. ὅταν γὰρ ἐκβαίνῃ τοὺς ἀναγκαίους ὅρους τῆς χρείας ἡ ὄρεξις, τί ἄλλο καὶ οὐχὶ διαβόλου ἐστὶ συμβουλὴ τοῦ τότε τὴν ἐκ σπερμάτων παραγραφομένου τροφὴν καὶ ἐπὶ τὰ ἔξω τῆς φύσεως προκαλουμένου τὴν ὄρεξιν; ἐκ λίθων ἐσθίουσιν οἱ τὸν τῆς πλεονεξίας ἄρτον παρατιθέμενοι, οἱ τὰς πολυταλάντους τε καὶ φλεγμαινούσας τραπέζας ἑαυτοῖς ἐξ ἀδικιῶν ἑτοιμάζοντες, ὧν ἡ παρασκευὴ τῶν δείπνων πομπή τίς ἐστι μεμηχανημένη πρὸς ἔκπληξιν,

1-2 cf Hebr 4, 15 6-12 Matth 4, 2-3; cf Luc 4, 2-3; Mar 1, 13 27-28 cf Plut Quaest conv IV, 1, 660F

4 κατὰ ταύτην W αὐτῆς VM 5 ὁρμὴν τῆς φύσεως Ψv 5-6 τὴν τροφὴν VM 9 τὴν ante πεῖναν add VM 17 νῦν post τροφὴν coll VM 20 τοῦ om VM 21 ἐπὶ πολὺ VM ἐκ: ἐπὶ v 24 τοῦ τότε: τοῦτο τοῦ W 27 τε om Ψv 29 τίς om VM

ἔξω τῶν ἀναγκαίων τῇ ζωῇ παραπίπτουσα. τί γὰρ κοινὸν ἔχει πρὸς τὴν τῆς φύσεως χρείαν ἡ ἄβρωτος ὕλη τοῦ ἀργύρου, ἐν βαρεῖ τε καὶ δυσβαστάκτῳ προτιθεμένη τῷ σταθμῷ; τί ἐστι τὸ τῆς πείνης πάθος; οὐχὶ τοῦ ἐνδέοντος ἔφεσις; διαπνευσθείσης γὰρ τῆς δυνάμεως πάλιν ἀναπληροῦται τὸ λεῖπον τῇ καταλλήλῳ προσθήκῃ. ἄρτος δέ ἐστιν ἢ ἄλλο τι τῶν ἐδωδίμων οὗ ἡ φύσις ἐφίεται. εἰ οὖν τις προσαγάγοι χρυσίον ἀντὶ ἄρτου τῷ στόματι, ἆρα θεραπεύει τὴν ἔνδειαν; ὅταν οὖν τὰς ἀβρώτους τις ὕλας πρὸ τῶν ἐδωδίμων ἐπιζητῇ, ἐν λίθοις ἄντικρυς ἔχει τὴν ἀσχολίαν, ἄλλο ζητούσης τῆς φύσεως, ἐν ἄλλῳ καταγινόμενος. λέγει ἡ φύσις, διὰ τοῦ κατὰ τὴν πεῖναν πάθους μονονουχὶ φωνὴν ἀφιεῖσα, τὸ ἐν χρείᾳ νῦν εἶναι βρώσεως διὰ τὸ δεῖν ἀντεισαγαγεῖν πάλιν τῷ σώματι τὸ διαπνευσθὲν τῆς δυνάμεως. σὺ δὲ οὐκ ἀκούεις τῆς φύσεως· οὐ γὰρ ὃ ζητεῖ δίδως· ἀλλ᾽ ὅπως ἂν πολύ σοι γένοιτο τοῦ ἀργύρου τὸ ἄχθος ἐπὶ τῆς τραπέζης φροντίζεις, καὶ τοὺς χαλκευτὰς τῆς ὕλης ἀναζητεῖς, καὶ τὴν ἱστορίαν τῶν ἐγγλυφομένων ταῖς ὕλαις εἰδώλων περιεργάζῃ, ὅπως ἂν δι᾽ ἀκριβείας τοῖς γλύμμασι τὰ πάθη τε καὶ τὰ ἤθη διὰ τῆς τέχνης εἰσενεχθείη, ὡς ἐπιγνῶναί τε τὸν θυμὸν τοῦ ὁπλίτου ὅταν τὸ ξίφος πρὸς τὴν σφαγὴν ἀνατείνηται, καὶ τὴν ἀλγηδόνα τοῦ τραυματίου ὅταν πρὸς τὴν καιρίαν συνεσταλμένος οἰμώζειν δόξῃ διὰ τοῦ σχήματος, καὶ τὴν ὁρμὴν τοῦ θηρεύοντος, καὶ τοῦ θηρίου
1240 M. τὴν ἀγριότητα, καὶ ὅσα ἄλλα διὰ τῆς τοιαύτης περιεργίας ἐν ταῖς ἐπιτραπεζίοις ὕλαις φιλοτεχνοῦσιν οἱ μάταιοι. ἄρτον ἡ φύσις ἐζήτησεν· σὺ δὲ τοὺς πολυταλάντους τρίποδας εὐτρεπίζεις πλυνούς τε καὶ κρατῆρας καὶ ἀμφορέας καὶ ἄλλα μυρία μηδὲν ἔχοντα πρὸς τὴν ἐπιζητουμένην χρείαν κοινόν. ἆρ᾽ οὐχὶ φανερῶς ἀκούεις δι᾽ ὧν ποιεῖς τοῦ πρὸς τὸν λίθον σοι συμβουλεύοντος βλέπειν; τί δ᾽ ἄν τις τὰ λοιπὰ τῆς

1 παραπέμπουσα VM παρεμπίπτουσα W 3 βάρει WΨ 6 δέ: γάρ ΨZv 7 προσαγάγοι τις Φ 8 τοῦ ἄρτου VM θεραπεύσει W (-σῃ W) C 13 ἀντεισάγειν V (ε pr sscr V) M 15 γένηται VM 16 ἀργυρίου VM 17 ἐπιζητεῖς VM 19 τε πάθη VM τὰ alt om VM 25 ἄρτον ΦZ: πιεῖν Ψv 26 ἤτησεν VM

λιθώδους ταύτης διεξίοι τροφῆς, τὰ αἰσχρὰ θεάματα, τὰ ἐμπαθῆ ἀκροάματα, δι᾽ ὧν ὁδοποιοῦσιν ἑαυτοῖς τὴν τῶν κακῶν ἀκολουθίαν, τοῖς ὑπεκκαύμασι τῆς ἀκολασίας τὴν τροφὴν ἐπαρτύοντες;

Αὕτη τοῦ ἀντικειμένου περὶ τῆς τροφῆς ἐστι συμβουλή· ταῦτα διὰ τοῦ πρὸς τοὺς λίθους βλέπειν ἀντὶ τῆς νενομισμένης τοῦ ἄρτου χρήσεως ὑποτίθεται. ἀλλ᾽ ὁ τῶν πειρασμῶν καθαιρέτης οὐχὶ τὴν πεῖναν ἐξορίζει τῆς φύσεως ὡς αἰτίαν κακῶν, ἀλλὰ τὴν περιεργίαν τὴν ἐκ συμβουλῆς τοῦ ἀντικειμένου συνεισιοῦσαν τῇ χρείᾳ μόνην ἀποπεμψάμενος ἀφῆκεν τοῖς ἰδίοις ὅροις οἰκονομεῖσθαι τὴν φύσιν. ὥσπερ γὰρ οἱ διηθοῦντες τὸν οἶνον οὐκ ἀτιμάζουσιν αὐτοῦ τὸ χρήσιμον διὰ τὴν καταμιχθεῖσαν ἄχνην αὐτῷ, ἀλλὰ τῷ ἠθμῷ τὰ περιττὰ διακρίναντες τοῦ καθαροῦ τὴν χρῆσιν οὐκ ἀποβάλλουσιν, οὕτως ὁ θεωρητικός τε καὶ διακριτικὸς τῶν ἀλλοτρίων τῆς φύσεως λόγος τῇ λεπτότητι τῆς ἀκριβοῦς θεωρίας τὴν μὲν πεῖναν ὡς συντηρητικὴν οὖσαν τῆς ζωῆς ἡμῶν οὐκ ἐξώρισεν, τὰς δὲ συμπλεκομένας τῇ χρείᾳ περιεργίας διήθησέν τε καὶ ἀπέρριψεν, εἰπὼν ἐκεῖνον εἰδέναι τρόφιμον ἄρτον ὃς τῷ ῥήματι τοῦ θεοῦ πρὸς τὴν φύσιν ᾠκείωται. εἰ οὖν ἐπείνασεν ὁ Ἰησοῦς, μακαριστὸν ἂν εἴη τὸ πεινᾶν ὅταν κατὰ μίμησιν ἐκείνου καὶ ἐν ἡμῖν ἐνεργῆται. εἰ τοίνυν ἔγνωμεν τί ἐστιν οὗ πεινᾷ ὁ κύριος, γνωσόμεθα πάντως τοῦ μακαρισμοῦ τοῦ νῦν ἡμῖν προκειμένου τὴν δύναμιν. ποία οὖν ἐστιν ἡ βρῶσις ἧς ὁ Ἰησοῦς τὴν ἐπιθυμίαν οὐκ ἐπαισχύνεται; φησὶ πρὸς τοὺς μαθητὰς μετὰ τὸν πρὸς τὴν Σαμαρεῖτιν διάλογον ὅτι Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου·

19 cf Matth 4, 4; Deut 8, 3; Luc 4, 4; Ioh 6, 26 sqq 25 Ioh 4, 34

1 καὶ post θεάματα add W 5 ἡ συμβουλή Φ 6 τοῦ: τὸ VM 8-9 κακῶν αἰτίαν Ψv 11 γὰρ ΨZ: δὲ VM om W 13 ἠθμῷ W²(ut vid)R²SZ: ἰσθμῷ VM ἰθμῷ WΨ(θμ fort e corr O)v 19 εἰδέναι τρόφιμον WΨZ: τρόφιμον εἶναι VM εἶναι τρόφιμον AC 20 οἰκειοῦται VM οἰκείωται W 22 ἐνεργῆται (η e corr K) καὶ ἐν ἡμῖν Ψv ἐνεργεῖται Φ οὗ: ὃ VM 23 ὁ om Ψv 24 ἡμῖν om VM ἡ om W

φανερὸν δὲ τοῦ πατρός ἐστι τὸ θέλημα, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. οὐκοῦν εἰ ἐκεῖνος ὀρέγεται τοῦ ἡμᾶς σωθῆναι καὶ τροφὴ αὐτοῦ γίνεται ἡ ἡμετέρα ζωή, μεμαθήκαμεν εἰς ὅ τι χρηστέον ἂν εἴη τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει. τί οὖν τοῦτό ἐστιν; πεινάσωμεν τὴν ἑαυτῶν σωτηρίαν, διψήσωμεν τοῦ θείου θελήματος, ὅπερ ἐστὶ τὸ ἡμᾶς σωθῆναι. πῶς οὖν ἔστι τὴν τοιαύτην ἡμῖν κατορθωθῆναι πεῖναν νῦν παρὰ τοῦ μακαρισμοῦ μεμαθήκαμεν. ὁ γὰρ τὴν δικαιοσύνην τοῦ θεοῦ ποθήσας εὗρεν τὸ ἀληθῶς ὀρεκτόν, οὗ τὴν ἐπιθυμίαν οὐχ ἑνὶ τρόπῳ τῶν κατὰ τὴν ὄρεξιν ἐνεργουμένων ἐπλήρωσεν· οὐ γὰρ μόνον ὡς βρῶσιν τὴν τοῦ δικαίου μετουσίαν ἐπόθησεν. ἡμιτελὴς γὰρ ἂν ἦν
1241 M. ἐπὶ ταύτης μόνης τῆς διαθέσεως στᾶσα ἡ ὄρεξις· νυνὶ δὲ καὶ πότιμον τὸ ἀγαθὸν τοῦτο ἐποίησεν, ἵνα τὸ ἔνθερμόν τε καὶ διακαὲς τῆς ἐπιθυμίας τῷ πάθει τῆς δίψης ἐνδείξηται. ξηροὶ γὰρ τρόπον τινὰ καὶ φλογώδεις ἐν τῷ καιρῷ τοῦ δίψους γινόμενοι, ὡς θεραπευτικὸν τῆς τοιαύτης διαθέσεως τὸ ποτὸν μεθ' ἡδονῆς προσφερόμεθα. ἐπεὶ οὖν μία μὲν τῷ γένει ἡ ὄρεξις ἐπὶ βρώσεώς τε καὶ πόσεως, διάφορος δὲ ἡ πρὸς ἑκάτερον τούτων διάθεσις, ὡς ἂν τὸ ἀκρότατον τῆς πρὸς τὸ ἀγαθὸν ἐπιθυμίας ὁ λόγος ἡμῖν νομοθετήσειεν, μακαρίζει τοὺς τὰ δύο ταῦτα πρὸς τὴν δικαιοσύνην πάσχοντας, τὴν πεῖνάν τε καὶ τὴν δίψαν, ὡς ἱκανοῦ ὄντος τοῦ ποθουμένου πρὸς ἑκατέραν ἁρμοσθῆναι καταλλήλως τὴν ὄρεξιν, καὶ στερρὰν μὲν τῷ πεινῶντι γενέσθαι τροφήν, πότιμον δὲ τῷ διψητικῶς ἐφελκυσαμένῳ τὴν χάριν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην τοῦ θεοῦ, ὅτι αὐτοὶ χορτασθήσονται. ἆρ' οὖν τὸ μὲν πρὸς τὴν δικαιοσύνην ὀρεκτικῶς ἔχειν μακαριστόν, εἰ δέ τις

1-2 I Tim 2, 4 23-26 cf I Cor 10, 3-4

1 ὃς: ὡς VM 3 αὐτῷ Φ 10 ἐν ante ἑνὶ add VM τῶν: τὸ V τῷ M 11 ἐνεργουμένῳ VM ὡς: εἰς VM 12 ἐπεπόθησεν VM ἂν om VM 17 τὸ: τὸν VM 19 διάφορον v 24 ἑκάτερον VM 25 γίνεσθαι Ψv 28 τοῦ θεοῦ om Ψv 29 τοῦ θεοῦ post δικαιοσύνην add VM

πρὸς τὴν σωφροσύνην ἢ τὴν σοφίαν ἢ τὴν φρόνησιν ἢ εἴ τι ἄλλο τῆς ἀρετῆς εἶδός ἐστιν ὁμοίως ἔχει, τοῦτο οὐ μακαρίζει ὁ λόγος; ἀλλὰ τοιοῦτόν τινα τάχα νοῦν τὸ λεγόμενον ἔχει· ἓν τῶν κατ' ἀρετὴν νοουμένων ἡ δικαιοσύνη ἐστίν. συνήθως δὲ πολλάκις ἡ θεία γραφὴ διὰ τῆς τοῦ μέρους μνήμης περιλαμβάνει τὸ ὅλον, ὡς ὅταν τὴν θείαν φύσιν δι' ὀνομάτων τινῶν ἑρμηνεύῃ. λέγει γάρ, Ἐγὼ κύριος, ὡς ἐκ προσώπου τοῦ θεοῦ ἡ προφητεία· τοῦτό μοι ὄνομα αἰώνιον, καὶ μνημόσυνον γενεῶν γενεαῖς. καὶ πάλιν ἑτέρωθί φησιν, Ἐγώ εἰμι ὁ ὤν, καὶ ἐν ἑτέρῳ ὅτι Ἐλεήμων εἰμί. καὶ μυρίοις ἄλλοις ὀνόμασι τοῖς τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς διασημαίνουσιν οἶδεν ὀνομάζειν αὐτὸν ἡ ἁγία γραφή, ὥστε διὰ τούτων μαθεῖν ἀκριβῶς ὅτι ὅταν ἕν τι εἴπῃ πᾶς ὁ τῶν ὀνομάτων κατάλογος κατὰ τὸ σιωπώμενον τῷ ἑνὶ συνεκφωνεῖται. οὐ γὰρ ἐνδέχεται ἐὰν κύριος λέγηται μὴ καὶ τὰ ἄλλα εἶναι, ἀλλὰ πάντα δι' ἑνὸς ὀνόματος ὀνομάζεται. διὰ τούτων οὖν μεμαθήκαμεν ὅτι διὰ μέρους τινὸς πολλὰ περιλαμβάνειν οἶδεν ὁ θεόπνευστος λόγος. οὐκοῦν καὶ ἐνταῦθα τὴν δικαιοσύνην τοῖς μακαριστῶς πεινῶσι προκεῖσθαι ὁ λόγος εἰπὼν πᾶν ἀρετῆς εἶδος διὰ ταύτης ἀποσημαίνει, ὡς ἐπίσης μακαριστὸν εἶναι τὸν καὶ φρόνησιν καὶ ἀνδρείαν καὶ σωφροσύνην πεινῶντα καὶ εἴ τι ἕτερον ἐν τῷ αὐτῷ τῆς ἀρετῆς λόγῳ καταλαμβάνεται. οὐδὲ γάρ ἐστι δυνατὸν ἕν τι τῆς ἀρετῆς εἶδος τῶν λοιπῶν διεζευγμένον αὐτὸ καθ' ἑαυτὸ τελείαν ἀρετὴν εἶναι. ᾧ γὰρ ἂν μὴ συνθεωρῆταί τι τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων ἀνάγκη πᾶσα τὸ ἀντιδιαστελλόμενον ἐπ' αὐτοῦ χώραν ἔχειν· ἀντιδιέστηκε

7 Is 42, 8   8-9 Ex 3, 15   9 Ex 3, 14   10 Ex 22, 26
18 sqq cf Plat Prot 329C sqq

1 πρὸς ante τὴν σοφίαν add VM   2 τοῦτον Ψv   3 ἔχει post νοῦν coll VM   ἓν: ἕως ὧδε V ἕως ὧ δὲ M   3-4 ἓν τῶν ΨZ: ἐν τῷ (sic) W   10 ἑτέρῳ: ἑτέροις ΦZ   12 ἁγία: θεία καὶ ἐξαίρετος VM   13 ὅταν: ἂν VM   15 ἀλλὰ om VM   ἃ post πάντα add MA   16 ὀνόματος om ΦZ   19 εἶδος ἀρετῆς Ψv (cf 23; 120, 1)   21 σωφροσύνην καὶ ἀνδρείαν VM   23 ἀπολειφθὲν post εἶδος add VM   24 τὴν ante ἀρετὴν add Ψv   lac trium fere litt habet M   25 συνθεωρεῖται VM   26 αὐτῷ VM

δὲ τῇ σωφροσύνῃ μὲν τὸ ἀκόλαστον, τῇ φρονήσει δὲ ἡ ἀφροσύνη, καὶ ἑκάστῳ δὲ τῶν πρὸς τὸ κρεῖττον ὑπειλημμένων ἐστί τι πάντως τὸ ἐκ τοῦ ἐναντίου νοούμενον. εἰ οὖν μὴ πάντα τῇ δικαιοσύνῃ συνθεωροῖτο, ἀμήχανον ἂν εἴη τὸ λειπόμενον ἀγαθὸν εἶναι. οὐκ ἂν γάρ τις εἴποι ἄφρονα 1244 M. δικαιοσύνην ἢ θρασεῖαν ἢ ἀκόλαστον ἢ ἄλλο τι τῶν ἐν κακίᾳ θεωρουμένων. εἰ δὲ παντὸς τοῦ χείρονος ἀμιγὴς ὁ τῆς δικαιοσύνης λόγος ἐστίν, ἅπαν ἐν ἑαυτῷ πάντως τὸ ἀγαθὸν περιείληφεν· ἀγαθὸν δὲ πᾶν τὸ κατ' ἀρετὴν θεωρούμενον. οὐκοῦν πᾶσα ἀρετὴ τῷ ὀνόματι τῆς δικαιοσύνης ἐνταῦθα διασημαίνεται, ἧς τοὺς πεινῶντάς τε καὶ διψῶντας μακαρίζει ὁ λόγος, τὴν πλησμονὴν αὐτοῖς τῶν ἐπιθυμουμένων ἐπαγγελλόμενος.

Μακάριοι γάρ, φησίν, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. τὸ δὲ λεγόμενον τοιοῦτόν μοί τινα νοῦν ἔχειν δοκεῖ· οὐδὲν τῶν καθ' ἡδονὴν ἐν τῷ βίῳ σπουδαζομένων πλήσμιον γίνεται τοῖς σπουδάζουσιν ἀλλά, καθώς φησί που δι' αἰνίγματος ἡ σοφία, Πίθος τετρημένος ἐστὶν ἡ περὶ τὰς ἡδονὰς ἀσχολία· ᾧ πάντοτε κατὰ σπουδὴν ἐπαντλοῦντες ἀπλήρωτόν τινα καὶ ἀνήνυτον ἐπιδείκνυνται κόπον οἱ περὶ ταῦτα σπουδάζοντες, ἐγχέοντες μὲν ἀεί τι τῷ βυθῷ τῆς ἐπιθυμίας καὶ τὸ πρὸς ἡδονὴν ἐπεμβάλλοντες, εἰς κόρον δὲ τὴν ἐπιθυμίαν οὐκ ἄγοντες. τίς ἔγνω τῆς φιλαργυρίας ὅρον διὰ τοῦ προσγενέσθαι τοῖς φιλαργυροῦσι τὸ σπουδαζόμενον; τίς δοξομανῶν ἔληξεν ἐν τῷ τυχεῖν ὧν ἐσπούδαζεν; ὁ δὲ τὴν ἡδονὴν ἐκπλήσας ἐν ἀκροάμασιν ἢ θεάμασιν ἢ τῇ περὶ γαστέρα καὶ μετὰ γαστέρα μανίᾳ καὶ λύσσῃ, τί εὗρεν ἐκ τῆς ἀπολαύσεως αὐτῷ ταύτης

18 cf Prov 23, 27; Plat Gorg 493B

1 μὲν σωφροσύνῃ VM 2 δὲ ante τῶν om WORv ἐπειλημμένων VM (ἐπιλ- M) 3 τι om VM 6 σωφροσύνην post θρασεῖαν add VM ἢ ante ἀκόλαστον: καὶ VM 15 τοῦ θεοῦ post δικαιοσύνην add WCZ 16 δοκεῖ ante τινα coll Φ 19 τετριμμένος Φ 20 σπουδὴν: σχολὴν VM τινα om VM 22 τι om VM 26 ὁ δὲ: ὅλην VM ἐκπληρώσας Φ 28 τί: τίς VM αὐτοῦ VM

περιγενόμενον; οὐ πᾶν ἡδονῆς εἶδος τῆς |διὰ σώματος |ἐκπληρουμένης ὁμοῦ τῷ προσπελάσαι |παρίπταται, οὐδὲ πρὸς τὸ βραχύτατον τοῖς ἁψαμένοις αὐτῆς παραμενούσης; τοῦτο τοίνυν τὸ ὑψηλὸν δόγμα παρὰ τοῦ κυρίου μανθάνομεν, ὅτι μόνη ἡ κατ' ἀρετὴν ἡμῖν ἐγγινομένη σπουδὴ πάγιόν τί ἐστι καὶ ἐνυπόστατον. ὁ γάρ τι τῶν ὑψηλῶν κατορθώσας, οἷον σωφροσύνην ἢ μετριότητα ἢ τὴν πρὸς τὸ θεῖον εὐσέβειαν ἢ ἄλλο τι τῶν ὑψηλῶν τε καὶ εὐαγγελικῶν διδαγμάτων, οὐ παροδικὴν ἐφ' ἑκάστῳ τῶν κατορθωμάτων καὶ ἄστατον τὴν εὐφροσύνην ἔχει ἀλλ' ἐνιδρυμένην καὶ διαμένουσαν καὶ παντὶ συμπαρατεινομένην τῷ τῆς ζωῆς διαστήματι. διὰ τί; ὅτι ταῦτα μὲν ἔξεστι διαπαντὸς ἐνεργεῖν καὶ οὐδείς ἐστι καιρὸς ἐν παντὶ τῷ τῆς ζωῆς διαστήματι τῆς ἀγαθῆς κόρον ἐμποιῶν ἐνεργείας. ἥ τε γὰρ σωφροσύνη καὶ ἡ καθαρότης καὶ τὸ ἐν παντὶ ἀγαθῷ ἀμετάπτωτον καὶ τὸ πρὸς τὸ κακὸν ἀκοινώνητον ἀεὶ ἐνεργεῖται, ἕως ἄν τις πρὸς ἀρετὴν βλέπῃ, καὶ συμπαρατεινομένην ἔχει τῇ ἐνεργείᾳ τὴν εὐφροσύνην. ἐπὶ δὲ τῶν ταῖς ἀτόποις ἐπιθυμίαις ἐκκεχυμένων, κἂν διαπαντὸς αὐτοῖς ἡ ψυχὴ βλέπῃ πρὸς τὸ ἀκόλαστον, ἀλλ' οὐκ ἀεὶ τὸ ἥδεσθαι πάρεστιν. τήν τε γὰρ περὶ τὴν βρῶσιν λιχνείαν ὁ κόρος ἔστησεν, καὶ ἡ τοῦ πίνοντος ἡδονὴ συγκατεσβέσθη τῇ δίψῃ, καὶ τὰ ἄλλα κατὰ τὸν αὐτὸν τρόπον καὶ χρόνου τινὸς χρῄζει καὶ διαλείμματος, ὥστε μαρανθεῖσαν ἀπὸ τῆς ἡδονῆς καὶ τῆς πλησμονῆς πάλιν ἀνακληθῆναι τὴν τοῦ ἡδύνοντος ὄρεξιν. ἡ δὲ τῆς ἀρετῆς κτῆσις οἷς ἂν ἅπαξ βεβαίως ἐνιδρυθῇ

1 πᾶν: πάσης Ψv (cf 118, 19) 2 τῷ O²CEZ: τοῦ VM τὸ WΨ 5 ἐγγινομένη ἡμῖν VM 8 εὐαγγελικῶν τε καὶ ὑψηλῶν Φ 9 ἐφ': ἐν VM 13-14 κόρον post ἐνεργείας coll VM om W 15 τὸ ante πρὸς om VM 17 ἔχῃ O² (ex -ει corr O²) RK 18 ἐκκεκαυμένων VZ ἐκκενουμένων M ἐκκεχυμένων χυ expunx et καυ sscr R (cf 130, 22; Or dom 11, 27; 12, 2; 51, 26) 19 ἡ ψυχὴ: ἐν ψυχῇ VM (-ὴ M) πρὸς om VM 20 κόρος WΨZ: πρὸς ῥοπὴν κόρος VM 22 καὶ ante χρόνου om WC 23 μαρανθείσης Ψv τῆς ἡδονῆς καὶ om VMZ 23-24 καὶ τῆς πλησμονῆς om sed ἡδο expunx et πλησμο in marg scr W 24 ἀνακαινισθῆναι VM 25 ἂν om VM ἐνιδρυνθῇ Φ οὐ καιρῷ τινι παύεται καὶ πάλιν παραγίνεται post ἐνιδρυθῇ add CS

1245 M. οὐ χρόνῳ μετρεῖται οὐδὲ κόρῳ περιορίζεται, ἀλλὰ πάντοτε τοῖς κατ᾽ αὐτὴν ζῶσιν ἀκραιφνῆ τε καὶ νεαρὰν καὶ ἀκμάζουσαν τῶν ἰδίων ἀγαθῶν παρέχει τὴν αἴσθησιν. διὸ τοῖς ταῦτα πεινῶσιν ὁ θεὸς λόγος τὴν πλησμονὴν ἐπαγγέλλεται, πλησμονὴν ἐξάπτουσαν κόρῳ τὴν ὄρεξιν οὐκ ἀμβλύνουσαν. τοῦτο οὖν ἐστιν ὃ διδάσκει, ἐκ τοῦ ὑψηλοῦ τῶν νοημάτων ὄρους διαλεγόμενος, τὸ μηδενὶ τοιούτῳ τὴν ἐπιθυμίαν ἡμῶν προσασχολεῖν οὗ μηδὲν πρόκειται τοῖς σπουδάζουσι πέρας, ἐν οἷς ματαία τις καὶ ἀνόνητός ἐστιν ἡ σπουδή, καθάπερ τοῖς τῇ κορυφῇ τῆς ἑαυτῶν σκιᾶς ἐπιτρέχουσιν, οἷς ὁ δρόμος ἐπὶ τὸ ἀνήνυτον φέρεται, ἰσοταχῶς ἀεὶ τοῦ διωκομένου ὑπεξιόντος τῷ ἐπιτρέχοντι, ἀλλ᾽ ἐκεῖ τρέψαι τὴν ὄρεξιν ἐν οἷς ἡ σπουδὴ κτῆμα τοῦ σπουδάζοντος γίνεται. ὁ γὰρ τῆς ἀρετῆς ἐπιθυμήσας κτῆμα ἴδιον ποιεῖται τὸ ἀγαθὸν, ἐν ἑαυτῷ βλέπων ὃ ἐπεθύμησεν. μακάριος οὖν ὁ πεινάσας τὴν σωφροσύνην· ἐμπλησθήσεται γὰρ τῆς καθαρότητος. ἡ δὲ πλησμονή, καθὼς εἴρηται, οὐκ ἀποστροφὴν ἀλλ᾽ ἐπίτασιν ποιεῖ τῆς ὀρέξεως, καὶ συναύξεται ἀλλήλοις κατὰ τὸ ἴσον ἀμφότερα. τῇ τε γὰρ ἐπιθυμίᾳ τῆς ἀρετῆς ἡ τοῦ ἐπιθυμηθέντος κτῆσις ἐπηκολούθησεν, καὶ τὸ ἐγγενόμενον ἀγαθὸν ἄπαυστον τὴν εὐφροσύνην τῇ ψυχῇ συνεισήνεγκεν. τοιαύτη γὰρ ἡ τοῦ ἀγαθοῦ τούτου φύσις ἐστὶν ὡς μὴ ἐν τῷ παρόντι μόνον καταγλυκαίνειν τὸν ἀπολαύοντα ἀλλ᾽ ἐν πᾶσι τοῖς τοῦ χρόνου μέρεσιν ἐνεργὸν παρέχειν τὴν εὐφροσύνην. καὶ γὰρ ἡ μνήμη τῶν ὀρθῶς βεβιωμένων εὐφραίνει τὸν κατορθώσαντα, καὶ ἡ ἐν τῷ παρόντι ζωὴ ὅταν δι᾽ ἀρετῆς διεξάγηται, καὶ ἡ τῆς ἀντιδόσεως προσδοκία, ἣν οὐκ ἄλλην εἶναί τινα ὑπολαμβάνω ἢ αὐτὴν πάλιν τὴν ἀρετήν, ἣ καὶ ἔργον ἐστὶ τῶν κατορθούντων καὶ γέρας ἐπὶ τοῖς κατορθώμασι γίνεται.

1 οὐδὲ: οὔτε Ψv 3 παρέχεται VM 6 οὖν: δὲ VM ὁ ante ἐκ add VM 7 τὸ: τῷ WΨ(τὸ O^2)v 9 ματαία τις Φ (e ματαιότης corr W): ματαία τε Ψv καὶ ἀνόνητός post σπουδή coll VM ἀνόητός v 11 ἰσοταχῶς ἀεὶ CSZ: εἰς ἐκεῖνο ταχέως ἀεὶ VM εἰς ὃ τάχος ἀεὶ W εἰς ἐκεῖνο ἀεὶ ταχέως Ψv 16 ὅτι ante ἐμπλησθήσεται add VM γὰρ om VM 27-28 ὑπολαμβάνω ante εἶναί coll W ante τινα coll VM

Εἰ δὲ χρή τινος καὶ τολμηροῦ καθάψασθαι λόγου, τάχα μοι δοκεῖ διὰ τοῦ κατὰ τὴν ἀρετήν τε καὶ δικαιοσύνην λόγου ἑαυτὸν προτιθέναι τῇ ὀρέξει τῶν ἀκουόντων ὁ κύριος, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις ἀλλὰ καὶ ἄρτος ἐξ οὐρανοῦ καταβαίνων καὶ ὕδωρ ζῶν, οὗ διψῆν ὁμολογεῖ Δαβὶδ ἔν τινι ψαλμῳδίᾳ, τὸ μακαριστὸν τοῦτο τῆς ψυχῆς πάθος τῷ θεῷ προσφέρων ἐν οἷς φησιν, Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ; ὅς μοι δοκεῖ, τῇ δυνάμει τοῦ πνεύματος προπαιδευθεὶς τὰ μεγαλοφυῆ ταῦτα τοῦ κυρίου διδάγματα, καὶ τὴν πλησμονὴν τῆς τοιαύτης ὀρέξεως ἑαυτῷ προσειπεῖν. Ἐγὼ γάρ, φησίν, ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου. αὕτη οὖν ἐστι κατά γε τὸν ἐμὸν λόγον ἡ ἀληθὴς ἀρετή, τὸ ἀμιγὲς τοῦ χείρονος ἀγαθόν,
1248 M. περὶ ὃ πᾶν νόημα τῶν πρὸς τὸ κρεῖττον νοουμένων καταλαμβάνεται, αὐτὸς ὁ θεὸς λόγος, ἡ τοὺς οὐρανοὺς καλύψασα ἀρετή, καθὼς ὁ Ἀμβακοὺμ διεξέρχεται, καὶ καλῶς οἱ ταύτην τοῦ θεοῦ τὴν δικαιοσύνην πεινῶντες ἐμακαρίσθησαν. τῷ ὄντι γὰρ Ὁ γευσάμενος τοῦ κυρίου, καθὼς ἡ ψαλμῳδία λέγει, τουτέστιν, ὁ ἐν ἑαυτῷ δεξάμενος τὸν θεόν, πλήρης γίνεται οὗ ἐδίψησέν τε καὶ ἐπείνασεν, κατὰ τὴν ὑπόσχεσιν τοῦ εἰπόντος ὅτι Ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα, τοῦ ἁγίου πνεύματος δηλονότι προενοικήσαντος. οὕτω μοι δοκεῖ καὶ Παῦλος ὁ μέγας, ὁ τῶν ἀπορρήτων ἐκείνων καρπῶν τῶν ἐκ τοῦ παραδείσου ἀπογευσάμενος, καὶ πλήρης ὧν ἐγεύσατο εἶναι καὶ ἀεὶ πεινῶν. καὶ γὰρ πεπληρῶσθαι τοῦ ποθουμένου ὁμολογεῖ λέγων,

3-5 I Cor 1, 30 5 Ioh 6, 50 al (ἄρτος) 6 Ioh 4, 10 al (ὕδωρ ζ.) 8 Ps 41, 3 12 Ps 16, 15 18 Hab 3, 3 20 Ps 33, 9 23 Ioh 14, 23 28 Gal 2, 20

1-2 δοκεῖ τάχα μοι Ψv 6 διψεῖν VW δίψει M καὶ ὁ μέγας ante δαβὶδ add ΦZ ψαλμῷ διὰ VM 8 τὸν ante ἰσχυρόν om O (sscr O²) R (in marg scr R²) 16 θεωρουμένων Φ (cf 169, 2) 17 ὁ—καλύψας VM 18 ἀρετῇ VW 23 μου post πατὴρ add VM 24 ποιήσομεν Ψv 28 πεπλῆσθαι VM

Ζῇ δὲ ἐν ἐμοὶ Χριστός· καὶ ὡς πεινῶν ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτείνεται λέγων, Οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι, τρέχω δὲ ἵνα καταλάβω. δεδόσθω γὰρ ἡμῖν κατ' ἐξουσίαν ὑποθετικῶς εἶναί τι λέγειν ὃ ἡ φύσις οὐκ ἔχει. καθάπερ γὰρ ἐπὶ τῆς αἰσθητῆς βρώσεως, εἰ μηδὲν περιττωματικῶς τῶν εἰς τροφὴν λαμβανομένων ἐξεποιεῖτο ἀλλὰ τὸ ὅλον εἰς προσθήκην τοῦ σωματικοῦ ὕψους ἀνελαμβάνετο, εἰς πολὺ ἂν ὕψος ἐπήρθη τὰ σώματα, τῆς καθ' ἡμέραν τροφῆς δι' ἑαυτῆς ἐπαυξούσης τὸ μέγεθος, οὕτως ἡ δικαιοσύνη ἐκείνη καὶ πᾶσα ἡ μετ' αὐτῆς ἀρετή, ἐπειδὴ οὐκ ἐκποιεῖται ἐσθιομένη κατὰ τὸν νοητὸν τῆς βρώσεως τρόπον, ὑψηλοτέρους ἀεὶ ποιεῖ δι' ἑαυτῆς τοὺς μετέχοντας, πάντοτε τῇ παρ' ἑαυτῆς προσθήκῃ τὸ μέγεθος αὔξουσα. οὐκοῦν εἰ νενόηται ἡμῖν ἡ μακαριστὴ πεῖνα, πᾶσαν τὴν ἀπὸ κακίας πληθώραν ἐμέσαντες πεινάσωμεν τὴν δικαιοσύνην τοῦ θεοῦ ἵνα καὶ εἰς πλησμονὴν αὐτῆς ἔλθωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Ε'

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Τάχα τι τοιοῦτόν ἐστιν ὃ διά τινος ὀπτασίας ὁ Ἰακὼβ δι' αἰνίγματος ἐπαιδεύθη, κλίμακα ἰδὼν ἀπὸ γῆς ἐπὶ τὸ οὐράνιον ὕψος διήκουσαν καὶ τὸν θεὸν ἐπ' αὐτῆς ἐστηριγμένον, οἷον δὴ νῦν καὶ ἡμῖν ἡ διὰ τῶν μακαρισμῶν διδασκαλία ποιεῖ, ἀεὶ πρὸς τὰ ὑψηλότερα τῶν νοημάτων τοὺς δι' αὐτῆς ἀνιόντας ἐπαίρουσα. καὶ γὰρ ἐκεῖ τῷ πατριάρχῃ τὸν κατ' ἀρετὴν οἶμαι βίον τῷ εἴδει τῆς κλίμακος διατυποῦσθαι, ὡς ἂν αὐτός

2 Philipp 3, 12-13 20-22 cf Gen 28, 12-13

2 ἤδη pr om VM 3 ἵνα: εἰ καὶ VM εἴ γε W (cf test) δεδόσθαι VK 4 λέγων VM γὰρ: τοίνυν ΦZ 10 ἡ om WC ἀποποιεῖται Φ 17 καὶ τὸ κράτος ΦKZ: om ORv τῶν αἰώνων om VW ἐτελεώθη post ἀμήν add Z 18 λόγος ε' E (in marg sup scr): τοῦ αὐτοῦ εἰς τοὺς μακαρισμοὺς ὁμιλία ε' W ὁμιλία ε' ACS (post ἐλεηθήσονται 19 coll AS) om VMΨ (sed λόγος λα' in marg scr K) λόγος ε' περὶ τοῦ μακάριοι οἱ ἐλεήμονες Z 19 τοῦ αὐτοῦ ante μακάριοι add A 23 καὶ νῦν ΦZ

τε μάθοι καὶ τοῖς μετ᾽ αὐτὸν ὑφηγήσαιτο ὅτι οὐκ ἔστιν ἄλλως πρὸς τὸν θεὸν ὑψωθῆναι μὴ ἀεὶ πρὸς τὰ ἄνω βλέποντα καὶ τὴν τῶν ὑψηλῶν ἐπιθυμίαν ἄληκτον ἔχοντα, ὡς μὴ ἀγαπᾶν ἐπὶ τῶν ἤδη κατορθωθέντων μένειν ἀλλὰ ζημίαν ποιεῖσθαι εἰ τοῦ ὑπερκειμένου μὴ ἅψαιτο. καὶ ἐνταῦθα οὖν τὸ ὕψος τῶν ἐπ᾽ ἀλλήλων μακαρισμῶν αὐτῷ προσεγγίζειν τῷ θεῷ παρασκευάζει τῷ ἀληθῶς μακαρίῳ καὶ πάσῃ ἐπεστηριγμένῳ [1249 M.] μακαριότητι. πάντως δέ, ὡς τῷ σοφῷ διὰ σοφίας καὶ διὰ καθαρότητος τῷ καθαρῷ προσεγγίζομεν, οὕτω καὶ τῷ μακαρίῳ διὰ τῆς ὁδοῦ τῶν μακαρισμῶν οἰκειούμεθα. θεοῦ γὰρ ὡς ἀληθῶς ἴδιον ἡ μακαριότης ἐστίν· διὸ καὶ ἐπεστηρίχθαι τῇ τοιαύτῃ κλίμακι ὁ Ἰακὼβ τὸν θεὸν διηγήσατο. ἡ οὖν τῶν μακαρισμῶν μετουσία οὐδὲν ἄλλο εἰ μὴ θεότητός ἐστι κοινωνία, πρὸς ἣν ἡμᾶς ἀνάγει διὰ τῶν λεγομένων ὁ κύριος.

Δοκεῖ οὖν μοι θεοποιεῖν τρόπον τινὰ διὰ τῆς κατὰ τὸ ἀκόλουθον προκειμένης τοῦ μακαρισμοῦ ὑφηγήσεως τὸν ἀκούοντά τε καὶ συνιέντα τοῦ λόγου. Μακάριοι γάρ, φησίν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. οἶδα πολλαχοῦ τῆς θείας γραφῆς τῷ ὀνόματι τοῦ ἐλεήμονος τοὺς ἁγίους ἄνδρας τὴν θείαν δύναμιν προσκαλουμένους· οὕτως ὁ Δαβὶδ ἐν ταῖς ὑμνῳδίαις, οὕτως ὁ Ἰωνᾶς ἐν τῇ καθ᾽ ἑαυτὸν προφητείᾳ, οὕτως ὁ μέγας Μωϋσῆς ἐν πολλοῖς τῆς νομοθεσίας κατονομάζει τὸ θεῖον. εἰ οὖν πρέπουσα τῷ θεῷ ἡ προσηγορία τοῦ ἐλεήμονος, τί ἄλλο καὶ οὐχὶ θεόν σε προκαλεῖται γενέσθαι ὁ λόγος, οἱονεὶ μορφωθέντα τῷ τῆς θεότητος ἰδιώματι; εἰ γὰρ ἐλεήμων μὲν ὁ θεὸς παρὰ τῆς θεοπνεύστου γραφῆς ὀνομάζεται, τὸ δὲ ἀληθῶς μακαριστὸν ἡ θεότης ἐστίν, φανερὸν ἂν εἴη

21-22 cf Ps 85, 15 (cf 5); 102, 8; 110, 4; 114, 5; 144, 8 22 cf Ion 4, 2 23-24 cf Ex 22, 26; 34, 6

2 τὸν om WC 5 ποιεῖσθαι: ἡγεῖσθαι VM οὖν om WC 6 τὸ om v 7-8 πάσης—μακαριότητος VMΨv (cf 12) 12 τὸν θεὸν ὁ ἰακὼβ Φ 13 εἰ μή: ἢ VM 14 κοινωνία ἐστὶ Ψv καὶ μετουσία post κοινωνία add VM 16 κατά: εἰς Ψv 22 ὁ om MΨv ἰωάννης Φ 24 τὸ θεῖον om VM 25 καί: ἢ Φ (cf 114, 23; 151, 25) προσκαλεῖται VMΨv 27 μὲν om Ψv

τὸ ἐκ τοῦ ἀκολούθου νοούμενον, ὅτι κἂν ἄνθρωπός τις ὢν ἐλεήμων γένηται τῆς θείας ἀξιοῦται μακαριότητος, ἐν ἐκείνῳ γενόμενος ὃ τὸ θεῖον κατονομάζεται. Ἐλεήμων ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ. πῶς οὖν οὐ μακάριον ἐκεῖνο κληθῆναι καὶ γενέσθαι τὸν ἄνθρωπον ὅπερ ὁ θεὸς ἐκ τοῦ ποιεῖν ὀνομάζεται; ἀλλὰ τὸ μὲν ζηλοῦν τὰ μείζονα τῶν χαρισμάτων συμβουλεύει διὰ τῶν ἰδίων λόγων καὶ ὁ θεῖος ἀπόστολος· ἡμῖν δὲ σκοπός ἐστιν οὐχ ὅπως ἂν πεισθείημεν τῶν καλῶν ὀρέγεσθαι—τοῦτο γὰρ αὐτομάτως ἔγκειται τῇ ἀνθρωπίνῃ φύσει, τὸ πρὸς τὸ καλὸν ἐπιρρεπῶς ἔχειν—ἀλλ' ὅπως ἂν μὴ ἁμάρτοιμεν τῆς τοῦ καλοῦ κρίσεως. ἐν τούτῳ γὰρ μάλιστα τῷ μέρει πλημμελεῖται ἡμῶν ἡ ζωή, ἐν τῷ μὴ δύνασθαι ἀκριβῶς συνιέναι τί τὸ φύσει καλὸν καὶ τί τὸ δι' ἀπάτης τοιοῦτον ὑπονοούμενον. εἰ γὰρ γυμνὴ προέκειτο ἡ κακία τῷ βίῳ καὶ μή τινι καλοῦ φαντασίᾳ προσκεχρωσμένη, οὐκ ἂν ηὐτομόλησε πρὸς αὐτὴν τὸ ἀνθρώπινον. οὐκοῦν συνέσεως ἡμῖν χρεία πρὸς τὴν τοῦ προκειμένου ῥητοῦ κατανόησιν ὡς ἂν διδαχθέντες τὸ ἀληθινὸν τοῦ ἐγκειμένου νοήματος κάλλος κατ' αὐτὸ μορφωθείημεν. ὥσπερ γὰρ ἡ περὶ τὸ θεῖον ὑπόληψις ἔγκειται μὲν πᾶσι φυσικῶς τοῖς ἀνθρώποις, ἐν δὲ τῇ ἀγνοίᾳ τοῦ ἀληθῶς ὄντος θεοῦ ἡ περὶ τὸ σπουδαζόμενον γίνεται διαμαρτία—οἷς μὲν γὰρ ἡ ἀληθὴς θεότης ἐστὶ σεβάσμιος ἡ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι θεωρουμένη· οἳ δὲ πρὸς ἀτόπους ὑπονοίας ἀπεπλανήθησαν, ἐν τῇ κτίσει τὸ τοιοῦτον ὑπονοοῦντες, καὶ διὰ τοῦτο ἡ ἐν ὀλίγῳ τῆς ἀληθείας παρατροπὴ τῇ ἀσεβείᾳ τὴν πάροδον δέδωκεν—οὕτω καὶ ἐπὶ τοῦ προκειμένου νοήματος εἰ μὴ καταλάβοιμεν τὴν ἀληθῆ
1252 M. διάνοιαν, οὐκ ἐν ὀλίγῳ γένοιτο ἂν ἡμῖν ἡ ζημία τῆς ἀληθείας παρασφαλεῖσιν.

3-4 Ps 114, 5 7 I Cor 12, 31 11 cf Hebr 5, 14

3 γινόμενος Φ ὃ: ᾧ VMv (cf 5-6) 5 ὥπερ v 8-9 ἂν πεισθείημεν: ἀναπεισθείημεν v 11 διαμάρτοιμεν Φ 13 τῇ ante φύσει add Φ τί alt om VM 15 καὶ om ΦΖ καλοῦ τινι VM 20 πᾶσι om VM 24 οἱ v ἐπλανήθησαν Ψv τὸ om Ψv 26 ἔδωκεν Φ

Τί τοίνυν ἐστὶν ὁ ἔλεος καὶ περὶ τί ἐνεργούμενος; καὶ πῶς μακάριος ὁ ἀντιλαμβάνων ὃ δίδωσιν; Μακάριοι γάρ, φησίν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ἡ μὲν οὖν πρόχειρος τοῦ ῥητοῦ διάνοια πρὸς τὸ φιλάλληλόν τε καὶ συμπαθὲς προκαλεῖται τὸν ἄνθρωπον διὰ τὸ ἄνισόν τε καὶ ἀνώμαλον τῶν τοῦ βίου πραγμάτων, οὐ πάντων ἐν τοῖς ὁμοίοις βιοτευόντων οὔτε κατὰ τὴν ἀξίαν οὔτε κατὰ τὴν τοῦ σώματος κατασκευὴν οὔτε κατὰ τὴν λοιπὴν περιουσίαν. μεμέρισται γὰρ ὡς τὰ πολλὰ διὰ τῶν ἐναντίων ὁ βίος, δουλείᾳ καὶ κυριότητι, πλούτῳ καὶ πενίᾳ, δόξῃ καὶ ἀτιμίᾳ, σαθρότητι σώματος καὶ εὐεξίᾳ, καὶ πᾶσι τοῖς τοιούτοις διασχιζόμενος. ὡς ἂν οὖν εἰς ἴσον ἔλθοι τῷ πλεονεκτοῦντι τὸ ὑστερούμενον καὶ ἀναπληρωθείη τὸ λεῖπον τῷ περιττεύοντι νομοθετεῖ τοῖς ἀνθρώποις ἐπὶ τῶν καταδεεστέρων τὸν ἔλεον. οὐ γὰρ ἔστιν ἄλλως πρὸς θεραπείαν τῆς συμφορᾶς τοῦ πέλας ὁρμῆσαι μὴ ἐλέου τὴν ψυχὴν πρὸς τὴν τοιαύτην ὁρμὴν ἐκμαλάξαντος· ἐκ γὰρ τοῦ ἐναντίου τῇ ἀπηνείᾳ νοεῖται ὁ ἔλεος. ὡς οὖν ὁ ἀπηνής τε καὶ ἄγριος ἀπροσπέλαστός ἐστι τοῖς ἐγγίζουσιν, οὕτως ὁ συμπαθής τε καὶ ἐλεήμων κατακίρναταί πως τῇ διαθέσει πρὸς τὸ δεόμενον, ἐκεῖνο τῷ λυπουμένῳ γινόμενος ὃ ἐπιζητεῖ ἡ ἀνιωμένη διάνοια. καὶ ἔστιν ὁ ἔλεος, ὡς ἄν τις ὅρῳ περιλαβὼν ἑρμηνεύσειεν, ἑκούσιος λύπη ἐπ' ἀλλοτρίοις κακοῖς συνισταμένη.

Εἰ δὲ οὐκ ἀκριβῶς τὴν διάνοιαν αὐτοῦ παρεστήσαμεν, τάχα ἂν ἄλλῳ λόγῳ διερμηνευθείη σαφέστερον. ἔλεός ἐστιν ἡ ἐπὶ τῶν δυσφορούντων ἐπί τισιν ἀνιαροῖς ἀγαπητικὴ συνδιάθεσις. ὥσπερ γὰρ τὸ ἀπηνές τε καὶ θηριῶδες ἀπὸ τοῦ μίσους τὰς ἀφορμὰς ἔχει, οὕτως ἐκφύεταί πως τῆς ἀγάπης ὁ ἔλεος, οὐκ ἂν γενόμενος εἰ μὴ ἐκ ταύτης. καὶ εἴ τις ἀκριβῶς

5 προσκαλεῖται Ψν 13 λειπόμενον Ψν (cf 127, 27) 14 τὸν: τὸ ν 15 ἐλέω VM 18 προσεγγίζουσιν Φ 19 κατακιρνᾶταί Φν 20 τὸ: τὸν Φ (cf 127, 21; 154, 8-9) ἐκείνῳ ν γενόμενος ν 21 διάνοια: ψυχή VMZ 25 ἂν: ἐν VM 26 ἡ om Ψν 28 τῆς: καὶ V ἐξ M 29 γινόμενος VM τὴν ἀρχὴν ἔσχε post ταύτης add VMCEZ γένοιτο add W (cf Or dom 10, 2)

ἐξετάσειε τὸ τοῦ ἐλέου ἰδίωμα, ἐπίτασιν εὑρήσει τῆς ἀγαπητικῆς διαθέσεως τῷ κατὰ τὴν λύπην πάθει συμμεμιγμένην. ἡ μὲν γὰρ τῶν καλῶν κοινωνία πᾶσιν ὁμοίως καὶ ἐχθροῖς καὶ φίλοις σπουδάζεται· τὸ δὲ τῶν ἀνιαρῶν κοινωνεῖν ἐθέλειν μόνων ἴδιον τῶν τῇ ἀγάπῃ κεκρατημένων ἐστίν. ἀλλὰ μὴν πάντων ὡμολόγηται τῶν κατὰ τὸν βίον τοῦτον ἐπιτηδευομένων ἡ ἀγάπη τὸ κράτιστον εἶναι· ἐπίτασις δὲ ἀγάπης ὁ ἔλεος. κυρίως ἄρα μακαριστὸς ὁ ἐν τῇ τοιαύτῃ διαθέσει τὴν ψυχὴν ἔχων, ὡς τοῦ ἀκροτάτου κατὰ τὴν ἀρετὴν ἐφαπτόμενος. καὶ μηδεὶς ἐν μόναις ταῖς ὕλαις τὴν ἀρετὴν θεωρείτω· οὕτω γὰρ ἂν οὐ παντὸς εἴη κατόρθωμα τὸ τοιοῦτον πλὴν τοῦ δύναμίν τινα πρὸς εὐποιΐαν ἔχοντος. ἀλλά μοι δοκεῖ δικαιότερον ἐν προαιρέσει τὸ τοιοῦτον βλέπειν. ὁ γὰρ θελήσας τὸ ἀγαθὸν μόνον, κωλυθεὶς δὲ πρὸς τὸ καλὸν τῷ μὴ δύνασθαι, κατ᾽ οὐδὲν ἐλαττοῦται τῇ τῆς ψυχῆς διαθέσει τοῦ διὰ τῶν
1253 M. ἔργων τὴν γνώμην δείξαντος. ὅσον μὲν οὖν κέρδος ἐστὶ τῷ βίῳ εἰ πρὸς τοῦτό τις ἐκλαμβάνοι τοῦ μακαρισμοῦ τὴν διάνοιαν περιττὸν ἂν εἴη διεξιέναι, φανερῶν ὄντων καὶ τοῖς κομιδῇ νηπίοις τῶν ἐκ τῆς συμβουλῆς ταύτης τῷ βίῳ κατορθουμένων. εἰ γὰρ πᾶσι καθ᾽ ὑπόθεσιν ἡ τοιαύτη τῆς ψυχῆς ἐγγένοιτο πρὸς τὸ ἐλαττούμενον σχέσις, οὐκέτ᾽ ἂν εἴη τὸ ὑπερέχον καὶ ἐλαττούμενον· οὐκέτι πρὸς τὰ ἐναντία τῶν ὀνομάτων ὁ βίος διενεχθήσεται· οὐκ ἀνιάσει πενία τὸν ἄνθρωπον· οὐ ταπεινώσει δουλεία· οὐ λυπήσει ἀτιμία· πάντα γὰρ ἔσται πᾶσι κοινά, καὶ ἰσονομία καὶ ἰσηγορία τῷ βίῳ τῶν ἀνθρώπων ἐμπολιτεύσεται, ἑκουσίως τοῦ περιττεύοντος πρὸς τὸ λεῖπον ἐξισουμένου. εἰ δὲ τοῦτο γένοιτο, οὐκέτ᾽ ἂν ὑπολειφθείη τις ἀπεχθείας ὑπόθεσις· ἀργὸς ὁ φθόνος,

1 τὸ post ἐλέου coll VM 2 συνεζευγμένην VM 4 ἐθέλειν κοινωνεῖν Φ 5 μόνων CS: μόνον ΦΨv τῇ om W 6 ὁμολογεῖται W ἐπιτηδευμάτων VM 11 οὐ παντὸς WO²Z: om VM οὐ πάντως Ψv τὸ τοιοῦτο κατόρθωμα Φ 15 τῇ om v 16 ἐστι κέρδος Φ 17 ἐκλαμβάνει v 22 τὸ post καὶ add VM ἐναντιούμενα W 26 ἐμπολιτεύεται Vv 26-27 περιττεύοντος: λείποντος CS πολιτεύοντος v 27 λεῖπον: περισσεῦον C (cf 126, 11-13)

νεκρὸν τὸ μῖσος, ὑπερόριος ἡ μνησικακία, τὸ ψεῦδος, ἡ ἀπάτη, ὁ πόλεμος, ἅπερ ἔγγονα πάντα τῆς τοῦ πλείονος ἐπιθυμίας ἐστίν. ἐκείνης δὲ τῆς ἀσυμπαθοῦς διαθέσεως ἐξορισθείσης, συνεκβάλλεται πάντως οἷόν τινι πονηρᾷ ῥίζῃ τὰ τῆς κακίας βλαστήματα. τῇ δὲ τῶν πονηρῶν ὑπεξαιρέσει ὁ τῶν ἀγαθῶν κατάλογος ἀντεισέρχεται, εἰρήνη καὶ δικαιοσύνη καὶ πᾶσα τῶν πρὸς τὸ κρεῖττον νοουμένων ἀκολουθία. τί τοίνυν ἂν εἴη μακαριστότερον τοῦ οὕτω τὸν βίον ἔχειν, οὐκέτι μοχλοῖς καὶ κλείθροις τὴν ἀσφάλειαν τῆς ζωῆς ἡμῶν πιστευόντων ἀλλ' ἐν ἀλλήλοις ἠσφαλισμένων; ὥσπερ γὰρ ὁ ἀπηνής τε καὶ θηριώδης δυσμενεῖς ἑαυτῷ τοὺς τῆς ἀγριότητος πεπειραμένους ποιεῖ, οὕτως ἐκ τοῦ ἐναντίου εὖνοι ἅπαντες τῷ ἐλεοῦντι γινόμεθα, φυσικῶς τοῖς μετέχουσι τοῦ ἐλέου τὴν ἀγάπην ἐντίκτοντος. οὐκοῦν ἐστιν ὁ ἔλεος, ὥς γε ὁ λόγος ὑπέδειξεν, εὐνοίας πατήρ, ἀγάπης ἐνέχυρον, σύνδεσμος πάσης φιλικῆς διαθέσεως· τῆς δὲ ἀσφαλείας ταύτης τί ἂν ἐπινοηθείη κατὰ τὴν ζωὴν ὀχυρώτερον; ὥστε εἰκότως ὁ λόγος μακαρίζει τὸν ἐλεήμονα, τοσούτων ἀγαθῶν τῷ ὀνόματι τούτῳ ἐμφαινομένων.

Ἀλλὰ τὸ μὲν βιωφελῆ τὴν τοιαύτην συμβουλὴν εἶναι παντός ἐστι μὴ ἀγνοῆσαι· ἐμοὶ δὲ δοκεῖ πλέον τι τῶν ἐκ τοῦ προχείρου νοουμένων τῇ τοῦ μέλλοντος ἐκλήψει δι' ἀπορρήτων παραδηλοῦν ἡ διάνοια. Μακάριοι γάρ, φησίν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται, ὡς εἰς ὕστερον ἀποκειμένης τοῖς ἐλεοῦσι τῆς κατὰ τὸν ἔλεον ἀντιδόσεως. οὐκοῦν ὡς ἂν οἷοί τε ὦμεν, τὴν εὔληπτον ταύτην καὶ ἐκ τοῦ προχείρου τοῖς πολλοῖς εὑρισκομένην καταλιπόντες διάνοιαν, πρὸς τὸ ἐσώτερον τοῦ καταπετάσματος διακύψαι τῷ

2 ἔκγονα VM ἔγγονα πάντα: ἔργον ἅπαντα W τῆς: τῇ v 3 ἐπιθυμίᾳ VMv διὰ ante τῆς add VW συμπαθοῦς ΦZ 6 καὶ om VM 8 μακαριώτερον M μακαριστότερον e μακαριώτερον ut vid corr W τοῦ: τῷ W τὸ v 9 κλείθροις: λίθοις Ψv πρὸς ante τὴν add VM 11 ἐκ ante τῆς add VM 12 εὖνοι ΨZ: εὐνούστατοι VM εὐνοεικοὶ W πάντες Φ 14 οὐκοῦν ἐστιν: ἔστιν οὖν Φ ὥς γε: ὥσπερ VM 20 βιοφελῆ WM 22 ἐκκαλύψει VM ἐγκλήσει W 24 εἰς om Ψv

λόγῳ κατὰ τὸ δυνατὸν ἐγχειρήσωμεν. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ἔστι μὲν οὖν τι καὶ δογμάτων ὑψηλοτέρων ἐν τῷ λόγῳ μαθεῖν, ὅτι πάντων ἀγαθῶν τὰς ἀφορμὰς ὁ κατ' εἰκόνα ἑαυτοῦ ποιήσας τὸν ἄνθρωπον τῇ φύσει τοῦ πλάσματος ἐναπέθετο, ὡς μηδὲν ἔξωθεν ἡμῖν
1256 M. τῶν καλῶν ἐπεισκρίνεσθαι ἀλλ' ἐφ' ἡμῖν εἶναι ἔχειν ὅπερ βουλόμεθα, οἷον ἐκ ταμείου τινὸς προχειριζομένους τὸ ἀγαθὸν ἐκ τῆς φύσεως. ἀπὸ μέρους γὰρ περὶ τοῦ παντὸς διδασκόμεθα, ὅτι οὐκ ἔστιν ἄλλως τινὰ τῶν κατ' ἐπιθυμίαν τυχεῖν μὴ αὐτὸν ἑαυτῷ τὸ ἀγαθὸν χαριζόμενον. διό φησί που πρὸς τοὺς ἀκούειν δυναμένους ὁ κύριος ὅτι Ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν, καὶ ὅτι Πᾶς ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται, ὡς καὶ τὸ λαβεῖν τὸ ποθούμενον καὶ τὸ εὑρεῖν τὸ ζητούμενον καὶ τὸ ἐντὸς τῶν ἐπιθυμουμένων γενέσθαι ἐφ' ἡμῖν εἶναι ὅταν βουλώμεθα καὶ τῆς ἡμετέρας ἐξηρτῆσθαι γνώμης. ᾧ κατὰ τὸ ἀκόλουθον συγκατασκευάζεται καὶ τὸ ἐξ ἐναντίου νοούμενον, ὅτι καὶ ἡ πρὸς τὸ χεῖρον ῥοπὴ οὐδεμιᾶς ἔξωθεν ἀνάγκης βιαζομένης ἐγγίνεται, ἀλλ' ὁμοῦ τῷ ἑλέσθαι τὸ κακὸν ὑφίσταται, τότε εἰς γένεσιν παραγενόμενον ὅταν ἑλώμεθα· αὐτὸ δὲ ἐφ' ἑαυτοῦ κατ' ἰδίαν ὑπόστασιν ἔξω προαιρέσεως οὐδαμοῦ τὸ κακὸν εὑρίσκεται κείμενον. ἐκ δὲ τούτων ἡ αὐτοκρατής τε καὶ αὐτεξούσιος δύναμις ἣν ἐνετεκτήνατο τῇ φύσει τῶν ἀνθρώπων ὁ τῆς φύσεως κύριος σαφῶς ἐπιδείκνυται, διὰ τοῦ τὰ πάντα τῆς προαιρέσεως ἠρτῆσθαι τῆς ἡμετέρας, εἴτε ἀγαθὰ εἴτε χείρονα, τὴν δὲ θείαν κρίσιν,

10 Luc 17, 21 12 Matth 7, 8

1 ἐπιχειρήσωμεν VM 2 δόγμα τῶν VWΨ 3 ὑψηλότερον v τῶν ante ἀγαθῶν add VM 5-6 ἔξωθεν post καλῶν coll v 6 ἔχειν post ὅπερ coll VM om v 7-8 οἷον—διδασκόμεθα om VMZ 11 ἀκούειν δυναμένους: ἀκούοντας Ψv (cf 142, 5-6) 16 βουλοίμεθα VM ἐξηρτεῖσθαι V(ει e corr V)M 18 μηδεμιᾶς v 18-19 βιαζομένης ἀνάγκης VMv 19 τῷ C: τὸ ΦΨ (in τῷ corr O)Zv 20 παραγόμενον VM 22 δὲ: δει (sic) V δὴ M τούτου VM 23 ἐνετεκτείνατο Φ 25 τοῦ: τὸ W τὰ om Φv 25-26 τῆς ἡμετέρας ἠρτῆσθαι Ψv 26 τὰ ante ἀγαθὰ et ante χείρονα add Φ

ἀδεκάστῳ καὶ δικαίᾳ ψήφῳ τοῖς κατὰ τὴν ἡμετέραν πρόθεσιν ἑπομένην, ἐκεῖνο νέμειν ἑκάστῳ ὅπερ ἂν ἑαυτῷ τις προπαρασχόμενος τύχῃ, τοῖς μέν, καθώς φησιν ὁ ἀπόστολος, καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν ζητοῦσι ζωὴν αἰώνιον, τοῖς δὲ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ ὀργὴν καὶ θλῖψιν καὶ πάντα ὅσα τῆς σκυθρωπῆς ἀντιδόσεώς ἐστιν ὀνόματα. ὥσπερ γὰρ τὰ ἀκριβῆ τῶν κατόπτρων τοιαύτας δείκνυσι τὰς τῶν προσώπων ἐμφάσεις οἷά περ ἂν τὰ πρόσωπα ᾖ, φαιδρὰ μὲν τῶν φαιδρυνομένων, κατηφῆ δὲ τῶν σκυθρωπαζόντων, καὶ οὐκ ἄν τις αἰτιάσαιτο τὴν τοῦ κατόπτρου φύσιν εἰ σκυθρωπὸν ἐμφανείη τὸ ἀπεικόνισμα τοῦ πρωτοτύπου διὰ κατηφείας συμπεπτωκότος, οὕτω καὶ ἡ δικαία τοῦ θεοῦ κρίσις ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται, οἷά περ ἂν τὰ παρ' ἡμῶν ᾖ τοιαῦτα ἡμῖν ἐκ τῶν ἰδίων ἀντιπαρέχουσα. Δεῦτε, φησίν, οἱ εὐλογημένοι, καί, Πορεύεσθε, οἱ κατηραμένοι. μή τις ἀνάγκη τῶν ἔξωθεν ἐπὶ τούτων ἐστίν, τοῖς δεξιοῖς μὲν τὴν γλυκεῖαν φωνήν, τοῖς δὲ ἀριστεροῖς τὴν σκυθρωπὴν ἀποκληροῦσα; οὐχ οὗτοι μὲν δι' ὧν ἐποίησαν ἔσχον τὸν ἔλεον, οἱ δὲ τῷ πρὸς τοὺς ὁμοφύλους ἀπηνῶς ἔχειν ἀπηνὲς ἑαυτοῖς τὸ θεῖον ἐποίησαν; οὐκ ἠλέησε τὸν τῷ πυλῶνι προσταλαιπωροῦντα πτωχὸν ὁ ταῖς τρυφαῖς διακεχυμένος πλούσιος· διὰ τοῦτο ἑαυτῷ ἀποκόπτει τὸν ἔλεον, ἐλεηθῆναι δεόμενος καὶ οὐκ ἀκουόμενος· οὐχ ὅτι ζημίαν ἔφερε μία ῥανὶς εἰς τὴν μεγάλην τοῦ παραδείσου πηγήν, ἀλλ' ὅτι ἡ τῆς ἐλεημοσύνης σταγὼν ἀμίκτως ἔχει πρὸς τὴν ἀπήνειαν. Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; Οἷα, φησίν, ἂν

3 Rom 2, 7-9 15 Matth 25, 34 et 41 26 II Cor 6, 14; Gal 6, 7-8

1 δικαίῳ v τῇ ante ψήφῳ add WM τοῖς: τῆς v 2-3 παρασχόμενος Ψ˙ παρεχόμενος v φησὶ καθὼς Ψ˙ 4 καὶ ἀφθαρσίαν post τιμὴν add VMZ 5 μὲν om Φ 7 ἐστιν ἀντιδόσεως VM 9 φαινομένων VM 10 πάλιν post δὲ add VW 11 ἐμφαίνει Φ (-νῃ W -φεν- M) 13 ἡ δικαία: ἡ διὰ V διὰ M 14 ᾖ om VM 15 ἰδίων: ὁμοειδῶν VM παρέχουσα Ψ˙v γάρ post δεῦτε add VM 16 πορεύεσθαι VMO(-σθε O[2])K 18 ἀριστεροῖς: σκαιοῖς Φ 19 τῷ: διὰ τὸ Φ 24 μία ῥανὶς: μικρὰν VM εἰς: ἐν VM om W τῇ μεγάλῃ—πηγῇ Φ 26 ἂν: ἐὰν Φ (cf test)

σπείρῃ ἄνθρωπος τοιαῦτα καὶ θερίσει, ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς
1257 M. τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. σπορὰν οἶμαι τὴν ἀνθρωπίνην εἶναι προαίρεσιν, θέρος δὲ τὴν ἐπὶ τῇ προαιρέσει ἀντίδοσιν. πολύχους ὁ τῶν ἀγαθῶν στάχυς τοῖς τὴν τοιαύτην ἑλομένοις σποράν, ἐπίπονος ἡ ἀκανθολογία τοῖς τὰ ἀκανθώδη σπέρματα καταβαλλομένοις τῷ βίῳ. χρὴ γὰρ πάντως αὐτὸ θερίσαι τινὰ ὅπερ ἔσπειρεν, καὶ οὐκ ἔστιν ἄλλως.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. τίς ἂν διεξέλθοι λόγος ἀνθρώπινος τὸ βάθος τῶν ἐγκειμένων νοημάτων τῷ λόγῳ; τὸ γὰρ ἀπόλυτόν τε καὶ ἀόριστον τῆς φωνῆς δίδωσί τι καὶ πλέον τῶν εἰρημένων περιεργάζεσθαι τῷ μὴ προσθεῖναι τίνες εἰσὶν εἰς οὓς ἐνεργὸν εἶναι προσήκει τὸν ἔλεον ἀλλ' ἁπλῶς εἰπεῖν ὅτι Μακάριοι οἱ ἐλεήμονες. τάχα γὰρ ἡμῖν τοιοῦτόν τι διὰ τῶν εἰρημένων ὁ λόγος αἰνίττεται, ὡς ἀκολουθεῖν τῷ μακαρίῳ πένθει τὴν τοῦ ἐλέου διάνοιαν. καὶ γὰρ ἐκεῖ μακαριστὸς ἦν ὁ τὸν τῇδε βίον ἐν πένθει ποιούμενος, καὶ ἐνταῦθα μοι δοκεῖ τὴν ἴσην ὁ λόγος ὑποσημαίνειν διδασκαλίαν. ὡς γὰρ ἐπὶ τῶν ἀλλοτρίων διατιθέμεθα συμφορῶν ὅταν τινὲς τῶν ἐπιτηδείων ἡμῖν ἀβουλήτοις τισὶ συνενεχθῶσι λύπαις, ἢ πατρῴας ἑστίας ἐκπεπτωκότες ἢ ἐκ ναυαγίου περισωθέντες γυμνοὶ ἢ πειραταῖς ἢ λησταῖς ὑποχείριοι γεγονότες ἢ δοῦλοι ἐξ ἐλευθέρων ἢ αἰχμάλωτοι ἐξ εὐδαιμόνων ἢ ἄλλο τι τοιοῦτον ἀντιλαβόντες κακὸν οἱ τέως ἐν εὐκληρίᾳ τινὶ κατὰ τὸν βίον ἐξεταζόμενοι, ὡς τοίνυν ἐπὶ τούτων ἀλγεινή τις γίνεται ταῖς ψυχαῖς ἡμῶν συνδιάθεσις, τάχα πολὺ μᾶλλον ἐφ' ἡμῶν αὐτῶν εὔκαιρον ἂν εἴη τὴν

1 ὁ ante ἄνθρωπος add v θερίζει Ψ 2 ἑαυτοῦ post σάρκα add Φ 4 εἶναι post οἶμαι coll VM 5 τὴν om Ψv 6 τὰ om v 8 αὐτὸν W τινὰ θερίσαι αὐτὸ VM 11 ἀόριστόν τε καὶ ἀπόλυτον VM 12 τῷ VAC: τὸ WMΨ(in τῶ corr O)v 15 τι τοιοῦτον ἡμῖν VM 16 ἐλέους Ψv 18 ἐνταῦθα: ἔνθα v 21 ἑστίας: οἰκίας v ἐκπεπτωκότες ἑστίας VM ἐκ om Ψv 22 ἀπορριφέντες VM λησταῖς ἢ πειραταῖς VM 24 ἂν post τι add VM 25 κατὰ om Ψv 26 ἡ ante συνδιάθεσις add WΨv 27 εὐκαιρότερον Φ

τοιαύτην ἀνακινεῖσθαι διάνοιαν ἐπὶ τῇ παρ᾽ ἀξίαν τοῦ βίου μεταβολῇ. ὅταν γὰρ λογισώμεθα τίς ἡ λαμπρὰ ἡμῶν ἑστία ἧς ἐκπεπτώκαμεν, πῶς ὑπὸ τοῖς λησταῖς ἐγενόμεθα, πῶς ἐν τῷ βυθῷ τοῦ τῇδε βίου καταβυθισθέντες ἀπεγυμνώθημεν, οἵους καὶ ὅσους δεσπότας ἀντὶ τῆς ἐλευθέρας τε καὶ αὐτονόμου διαγωγῆς ἐπεσπασάμεθα, πῶς τὸ μακαριστὸν τῆς ζωῆς θανάτῳ καὶ φθορᾷ διεκόψαμεν, ἆρα δυνατόν, εἰ ταύτας λάβοιμεν τὰς ἐννοίας, ἀλλοτρίαις συμφοραῖς προσασχολεῖσθαι τὸν ἔλεον καὶ οὐκ αὐτὴν περὶ ἑαυτὴν ἐλεεινῶς τὴν ψυχὴν διατίθεσθαι, λογιζομένην ἅ τε ἔχει ὧν τε ἐκπέπτωκεν; τί γὰρ τῆς αἰχμαλωσίας ταύτης ἐλεεινότερον; ἀντὶ τῆς ἐν τῷ παραδείσῳ τρυφῆς τὸ νοσῶδες τοῦτο καὶ ἐπίπονον χωρίον ἐν τῇ ζωῇ κεκληρώμεθα· ἀντὶ τῆς ἀπαθείας ἐκείνης τὰς μυρίας τῶν παθημάτων ἀντειλήφαμεν κῆρας· ἀντὶ τῆς ὑψηλῆς ἐκείνης διαγωγῆς καὶ τῆς μετὰ τῶν ἀγγέλων ζωῆς τοῖς θηρίοις τῆς γῆς συνοικεῖν κατεκρίθημεν, τοῦ ἀγγελικοῦ τε καὶ ἀπαθοῦς τὸν κτηνώδη βίον ἀνταλλαξάμενοι. τοὺς πικροὺς τῆς ζωῆς ἡμῶν τυράννους, τοὺς λυσσῶντας καὶ ἀγριαίνοντας δεσπότας τίς ἂν ῥᾳδίως ἀριθμῷ περιλάβοι; πικρὸς δεσπότης ὁ θυμός· τοιοῦτος ἄλλος ὁ φθόνος· τὸ μῖσος, τὸ καθ᾽ ὑπερηφανίαν πάθος λυσσώδης τις καὶ
1260 M. ἄγριος τύραννος· ὡς ἀργυρωνήτων κατατρυφῶν ὁ ἀκόλαστός ἐστι λογισμὸς ὁ πρὸς τὰς ἐμπαθεῖς τε καὶ ἀκαθάρτους ὑπηρεσίας ἐξανδραποδίζων τὴν φύσιν. ἡ δὲ τῆς πλεονεξίας τυραννὶς τίνα οὐ παρέρχεται πικρίας ὑπερβολήν; ᾗ τὴν ἀθλίαν δουλωσαμένη ψυχὴν ἀεὶ τὰς ἀπλήστους αὐτῆς ἐπιθυμίας πληροῦν ἀναγκάζει, πάντοτε δεχομένη καὶ οὐδέποτε πληρουμένη, οἷόν τι πολυκέφαλον θηρίον μυρίοις στόμασι τῇ ἀπληρώτῳ γαστρὶ τὴν τροφὴν παραπέμπον, ᾗ οὐδείς

1 ἀνακεῖσθαι Ψv   τῇ alt ante τοῦ add Ψ (expunx O^{2})   2 βολῇ v   ἑστία: οἰκία v   3 γεγόναμεν Ψv   ἐν om v   5 ὅσους: πόσους VM   ἐλευθερίας Mv   8 τὰς om v   9 περὶ ἑαυτὴν om v   περὶ: πρὸς VM (cf 133, 4)   ἑαυτὴν: αὐτὴν Ψ   10 συνδιατίθεσθαι VM (cf 131, 26)   εἶχεν v   11 τῷ om VM   17 δὲ post τοὺς add VM   21 τις: τε VM   22 καταφρονῶν VM   25 παρέχεται Φ   ᾗ: ἡ v   27 ἀναγκάζουσα VM   29 παραπεμπομένη VM   ᾗ om VM

ποτε τοῦ κερδαίνειν γίνεται κόρος ἀλλὰ τὸ ἀεὶ λαμβανόμενον ὕλη καὶ ὑπέκκαυμα τῆς τοῦ πλείονος ἐπιθυμίας καθίσταται. τίς τοίνυν τὸν δύστηνον τοῦτον βίον κατανοήσας ἀνηλεῶς καὶ ἀπηνῶς πρὸς τὰς τοιαύτας συμφορὰς διατίθεται; ἀλλ' αἴτιον τοῦ μὴ ἐλεεῖν ἡμᾶς αὐτοὺς τὸ ἐν ἀναισθησίᾳ τῶν κακῶν εἶναι· οἷόν τι πάσχουσιν οἱ ἐκ μανίας παράφοροι, ὧν ἡ ὑπερβολὴ τοῦ κακοῦ καὶ τὴν αἴσθησιν ὧν πάσχουσι προσαφήρηται. εἰ τοίνυν τις ἑαυτὸν ἐπιγνοίη οἷός τε πρότερον ἦν καὶ οἷος ἐπὶ τοῦ παρόντος ἐστίν—φησὶ δέ που καὶ ὁ Σολομῶν ὅτι Οἱ ἑαυτῶν ἐπιγνώμονες σοφοί—οὐδέποτε ἐλεῶν ὁ τοιοῦτος παύσεται· τῇ δὲ τοιαύτῃ τῆς ψυχῆς διαθέσει καὶ ὁ θεῖος ἔλεος κατὰ τὸ εἰκὸς ἀκολουθήσει. διό φησιν, Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Αὐτοί, οὐχὶ ἕτεροι· ἐν τούτῳ γὰρ σαφηνίζει τὸ νόημα, ὡς ἂν εἴ τις λέγοι ὅτι Μακάριόν ἐστι τὸ ἐπιμελεῖσθαι τῆς σωματικῆς ὑγιείας. ὁ γὰρ ἐπιμελούμενος αὐτὸς ἐν ὑγιείᾳ βιώσεται· οὕτως ὁ ἐλεήμων ἐστὶ μακαριστός, ὅτι ὁ καρπὸς τοῦ ἐλέου ἴδιον κτῆμα τοῦ ἐλεοῦντος γίνεται, εἴτε κατὰ τὸν νῦν ἡμῖν εὑρεθέντα λόγον εἴτε καὶ κατὰ τὸν προεξητασμένον, τὸν ἐπὶ τῶν ἀλλοτρίων λέγω συμφορῶν δεικνύντα τῆς ψυχῆς τὴν συμπάθειαν. ἀγαθὸν γὰρ ὁμοίως ἑκάτερον, τό τε ἑαυτὸν ἐλεεῖν κατὰ τὸν εἰρημένον τρόπον καὶ τὸ συμπάσχειν ταῖς δυσπραγίαις τῶν πέλας, διότι τὸ δίκαιον τῆς θείας κρίσεως τὴν ἐπὶ τῶν καταδεεστέρων τοῦ ἀνθρώπου προαίρεσιν ἐπὶ τῆς ὑπερεχούσης δείκνυσιν ἐξουσίας, ὥστε τρόπον τινὰ ἑαυτοῦ δικαστὴν εἶναι τὸν ἄνθρωπον, ἑαυτῷ τὴν ψῆφον ἐν τῇ τῶν ὑπηκόων φέροντα κρίσει. ἐπειδὴ τοίνυν πεπίστευται, καὶ

9 Prov 13, 10

4 τε ante καὶ add Φ   διατίθεσθαι VM   5 τοῦ ΦZ: τὸ Ψv   τὸ om v   ἀναισθησίᾳ αι ex ε corr O[2]   ἀσθενείᾳ K   7-8 προαφήρηται VM   προσαφήρηνται W   8 ἑαυτόν τις VM   10 ἑαυτὸν post ἐλεῶν add Φ   12 ἀκολουθεῖ VM   14 σαφηνίζεται VM   νόημα ΦZ: ὄνομα Ψv   15 λέγει v   ὅτι om Ψv   ἐπιμελεῖσθε M   ἐπιμέλεσθαι W   19 καὶ om VMKZv   20 τὸν: τὸ Ψ (τὸν O[2])   25 δείκνυται v   26 ἑαυτοῦ: ἑαυτῷ VM   ἐν: ἐπὶ VM   27 ὑπηκόων: ὑποδεεστέρων Φ

ἀληθῶς πεπίστευται, πᾶσαν παραστήσεσθαι τὴν ἀνθρωπίνην φύσιν τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον, τάχα, κἂν τολμηρὸν εἰπεῖν ᾖ, δυνατόν ἐστι τὰ ἀπόρρητά τε καὶ ἀθέατα λογισμῷ λαβεῖν καὶ ἤδη τὸ μακάριον τῆς ἀντιδόσεως τῶν ἐλεουμένων κατανοῆσαι. ἡ γὰρ ἐγγινομένη ταῖς ψυχαῖς εὔνοια πρὸς τοὺς τὸν ἔλεον ἐπιδεικνυμένους παρὰ τὸν βίον ἐν τῇ ζωῇ εἰσαεὶ κατὰ τὸ εἰκὸς παραμένει τοῖς μετεσχηκόσι τῆς χάριτος. τί οὖν εἰκός, εἰ ἐν τῷ καιρῷ τῆς ἐξετάσεως ἐπιγνωσθείη παρὰ τῶν εὖ πεπονθότων ὁ εὐεργέτης, ὅπως διατεθήσεται τὴν ψυχήν, ταῖς εὐχαρίστοις φωναῖς
1261 M. ἐπὶ τοῦ κριτοῦ πάσης τῆς κτίσεως εὐφημούμενος; ἆρά τινος ἄλλου μακαρισμοῦ προσδεηθήσεται ὁ ἐν τοσούτῳ θεάτρῳ ἐπὶ τοῖς ἀρίστοις ἀνακηρυττόμενος; τὸ γὰρ παρεῖναι τοὺς εὖ πεπονθότας ἡ τοῦ εὐαγγελίου διδάσκει φωνὴ ἐν τῇ πρὸς τοὺς δικαίους καὶ τῇ πρὸς τοὺς ἁμαρτωλοὺς τοῦ βασιλέως κρίσει. πρὸς ἀμφοτέρους γὰρ τῷ δεικτικῷ χρῆται λόγῳ, οἱονεὶ δακτύλῳ τὸ ὑποκείμενον γνωρίσας· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων. τὸ γὰρ τούτων εἰπεῖν τὴν τῶν εὖ πεπονθότων παρουσίαν ἐνδείκνυται.

Νῦν μοι λεγέτω ὁ τὴν ἄψυχον τῶν χρημάτων ὕλην προτιμῶν τῆς μελλούσης μακαριότητος· ποία χρυσίου

1-3 cf Rom 14, 10-12 15 Matth 25, 31 sqq 18-19 Matth 25, 40 (cf 45)

1 παραστήσασθαι Mv 2-3 τὰ—ἔπραξεν: ταῦτα ἃ ἔπραξεν διὰ τοῦ σώματος (vel simile) Z 4 κἂν ΦZ: καὶ Ψ'v ἐστιν ante εἰπεῖν add VM ᾖ: ἡ VM εἰ WΨ'v secundum Z (ut vid) correxi ἐστι τὰ om V ἐστι om M ἄρρητα Φ τε om v 7 ἔννοια VM 9-10 εἰ ΦZ: post ἐξετάσεως coll Ψ'v 11 ὅπως: an πῶς legendum? διατεθήσεται ASZ (ut vid): διατεθήσεσθαι ΦΨ' αὐτοῦ post ψυχήν add VMZ ἐπὶ ante ταῖς add Ψ'v 12 τοῦ κριτοῦ ΦZ: θεοῦ Ψ'v εὐφημούμενον WΨ' 16 τῇ om VM 18 λόγῳ om v ὑπερκείμενον Ψ'v 20 παρουσίαν post τὴν coll VM 22 ὕλην τῶν χρημάτων VMv 23 χρυσοῦ Φ

λαμπρότης τοιαύτη, τίνες τῶν πολυτιμήτων λίθων αὐγαί, τίς ἐξ ἐνδυμάτων κόσμος τοιοῦτος οἷον ἐκεῖνο τὸ ἀγαθὸν ἡ ἐλπὶς ὑποτίθεται; ὅταν ὁ βασιλεύων τῆς κτίσεως ἑαυτὸν ἀνακαλύψῃ τῇ ἀνθρωπίνῃ φύσει, ἐπὶ τοῦ ὑψηλοῦ θρόνου τῆς δόξης μεγαλοπρεπῶς προκαθήμενος, ὅταν ὀφθῶσι περὶ αὐτὸν αἱ ἀναρίθμητοι μυριάδες τῶν ἀγγέλων, καὶ δὴ ὅταν ἐν ὀφθαλμοῖς γένηται πάντων ἡ ἀπόρρητος τῶν οὐρανῶν βασιλεία, καὶ ἀναδειχθῇ πάλιν ἐκ τοῦ ἐναντίου τὰ φοβερὰ κολαστήρια, ἐν μέσῳ δὲ τούτων πᾶσα ἡ ἀνθρωπίνη φύσις, τῶν ἀπὸ πρώτης κτίσεως καὶ μέχρι τῆς τοῦ παντὸς συμπληρώσεως γεγονότων, φόβῳ τε καὶ ἐλπίδι τῶν μελλόντων ἑστήκῃ μετέωρος, τῇ ἐφ' ἑκάτερα τῶν προσδοκωμένων ἐκβάσει κραδαινομένη πολλάκις, καὶ τῶν ἀγαθῇ συνειδήσει συνεζηκότων ἀπιστούντων τῷ μέλλοντι ὅταν ἑτέρους ἴδωσιν ὑπὸ τοῦ πονηροῦ συνειδότος εἰς τὸ σκυθρωπὸν ἐκεῖνο σκότος ὥσπερ ὑπό τινος δημίου καθελκομένους, ἐὰν οὗτος ἐν εὐφήμοις τε καὶ εὐχαρίστοις ταῖς παρὰ τῶν εὖ πεπονθότων φωναῖς λαμπρὸς τῇ παρρησίᾳ τῷ κριτῇ παρὰ τῶν ἔργων προσάγηται, ἆρα κατὰ τὸν ὑλώδη πλοῦτον τὴν εὐκληρίαν ἐκείνην εἶναι λογίσεται; ἆρα δέξεται ἀντὶ τῶν ἀγαθῶν ἐκείνων ὄρη πάντα καὶ πεδία καὶ νάπας καὶ θάλασσαν εἰς χρυσὸν αὐτῷ μεταποιηθέντα γενέσθαι; ὁ δὲ ἀκριβῶς σφραγίσι καὶ κλείθροις καὶ σιδηροδέτοις πύλαις καὶ ὀχυροῖς κρυπτηρίοις τὸν μαμωνᾶν κατακρύψας, καὶ πάσης ἐντολῆς τὸ ἀποκεῖσθαι αὐτῷ συγκεχωσμένην ἐν κρυπτῷ τὴν ὕλην προτιμότερον κρίνας, ἐὰν ἐπὶ τὸ σκοτεινὸν πῦρ ἐπὶ κεφαλὴν κατασύρηται, πάντων αὐτῷ τὸ ἀπηνὲς καὶ ἀνήμερον προφερόντων τῶν κατὰ τὴν ζωὴν ταύτην πεπειραμένων καὶ λεγόντων, Μνήσθητι

1 τίνος MΨ   πολυτίμων VM   2 τοιοῦτος κόσμος VM   5 τῆς δόξης om v   6 καὶ δὴ om ΦZ   7 ἡ om v   11 ἑστήκῃ v: στήκῃ VM   ἱστήκῃ W   εἱστήκει Ψ   16 οὗτος: αὐτὸν V αὐτὸς WMZ   18 λαμπρῶς WS   19 προσαγάγηται Ψv   τὴν om v   20 ἆρα δέξεται: παραδέξεται VM   δὲ ante ἀντὶ add VM   25 συγκεχωσμένη R(συγκεχωρισμένηι [ut vid] R²   συγκεχωσμένην in marg scr R³)K   ἐν τῷ κρυπτῷ Ψv   26 σκοτεινότερον V (e σκοτεινὸν corr ut vid V)M   ἐπὶ τὴν κεφαλὴν VM   27 ἀπεινὲς v

ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου· συναπέκλεισας ἐν τοῖς ὀχυρώμασι τῷ πλούτῳ τὸν ἔλεον καὶ κατέλιπες ὑπὲρ γῆς τὴν εὐσπλαγχνίαν· οὐκ ἐκομίσω πρὸς τὸν τῇδε βίον τὴν φιλανθρωπίαν· οὐκ ἔχεις ὃ μὴ ἔσχες· οὐχ εὑρίσκεις ὃ μὴ ἀπέθου· οὐ συνάγεις ὃ μὴ ἐσκόρπισας· οὐ θερίζεις ὧν οὐ κατεβάλου τὰ σπέρματα· ἄξιόν σοι τῆς σπορᾶς τὸ θέρος· πικρίαν ἔσπειρας, δρέπου τὰ δράγματα· τὸ ἀνηλεὲς ἐτίμησας, ἔχε ὅπερ ἠγάπησας· οὐκ εἶδες συμπαθῶς, οὐκ ὀφθήσῃ
1264 M. ἐλεεινῶς· περιεῖδες θλιβόμενον, περιοφθήσῃ ἀπολλύμενος· ἔφυγες τὸν ἔλεον, φεύξεταί σε ὁ ἔλεος· ἐβδελύξω τὸν πτωχόν, βδελύξεταί σε ὁ δι' ἐμὲ πτωχεύσας—εἰ ταῦτα καὶ τὰ τοιαῦτα λέγοιτο, ποῦ τὸ χρυσίον; ποῦ τὰ λαμπρὰ σκεύη; ποῦ ἡ ἐπιβεβλημένη τοῖς θησαυροῖς διὰ τῶν σφραγίδων ἀσφάλεια; ποῦ οἱ ταῖς νυκτεριναῖς φυλακαῖς ἐπιτεταγμένοι κύνες; ἡ πρὸς τοὺς ἐπιβουλεύοντας τῶν ὅπλων παρασκευή; ἡ ἐν τοῖς βιβλίοις ἀναγεγραμμένη σημείωσις; τί ταῦτα πρὸς τὸν κλαυθμὸν καὶ τὸν βρυγμὸν τῶν ὀδόντων; τίς καταυγάσει τὸ σκότος; τίς κατασβέσει τὴν φλόγα; τίς ἀποστρέψει τὸν ἀτελεύτητον σκώληκα; οὐκοῦν νοήσωμεν, ἀδελφοί, τὴν τοῦ κυρίου φωνήν, ἐν ὀλίγῳ τοσαῦτα περὶ τῶν μελλόντων παιδεύουσαν· καὶ γενώμεθα ἐλεήμονες, ἵνα γενώμεθα διὰ τοῦτο μακάριοι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Ϛ'

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

Ὅπερ παθεῖν εἰκὸς τοὺς ἔκ τινος ὑψηλῆς ἀκρωρείας

26 sqq cf In Eccles V 413, 5 sqq

1 τὰ om v 2 τοῦ πλούτου Ψv καὶ om ΦZ 5 θερίσεις W θεριεῖς Ψv 6 σοι om VM 9 ἐλεεινός VM παρεῖδες VM (-ρίδ- M) παροφθήσῃ VM 11 δι' ἐμὲ: διὰ σὲ v 14 ἐπιτεταμένοι V ἐπιτετευγμένοι Ψ(-ταγ- O^2)v ἡ: καὶ v 15-16 ταῖς βίβλοις VM 16 τοῦ πλούτου ante σημείωσις add Φ 17 τὸν om VM 21-22 διὰ τοῦτο: δι' αὐτοῦ VM διὰ τούτου W 23 τῶν αἰώνων om VZ ἐτελεώθη λόγος ε' post ἀμήν add Z 24 λόγος ϛ' E: τοῦ αὐτοῦ ὁμιλία ϛ' W ὁμιλία ϛ' post ὄψονται 25 coll S om VMΨ(sed λόγος λβ' scr K)A ἑξῆς λόγος ϛ' Z

εἰς ἀχανές τι κατακύπτοντας πέλαγος, τοῦτό μοι πέπονθεν ἡ διάνοια, ἐκ τῆς ὑψηλῆς τοῦ κυρίου φωνῆς, οἷον ἀπό τινος κορυφῆς ὄρους, εἰς τὸ ἀδιεξίτητον τῶν νοημάτων ἀποβλέπουσα βάθος. καθάπερ γὰρ ἐν πολλοῖς τῶν παραθαλασσίων ἔστιν ἰδεῖν ὄρος ἡμίτομον, κατὰ τὸ παράλιον μέρος ἀπὸ κορυφῆς ἐπὶ τὸ βάθος δι' εὐθείας ἀπεξεσμένον, οὗ κατὰ τὸ ἄνω πέρας ἄκρα τις προβεβλημένη πρὸς τὸν βυθὸν ἐπινένευκεν, ὅπερ οὖν παθεῖν εἰκὸς τὸν ἀπὸ τῆς τοιαύτης σκοπιᾶς ἐκ πολλοῦ τοῦ ὕψους ἐπὶ τὴν ἐν τῷ βάθει διακύπτοντα θάλασσαν, οὕτως ἰλιγγιᾷ μοι νῦν ἡ ψυχή, ἐν τῇ μεγάλῃ ταύτῃ τοῦ κυρίου φωνῇ γενομένη μετέωρος· Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. θεὸς πρόκειται τοῖς τὴν καρδίαν ἐκκαθαρθεῖσι τὸ θέαμα, Θεὸς ὃν οὐδεὶς ἑώρακε πώποτε, καθώς φησιν Ἰωάννης ὁ μέγας· ἐπιψηφίζει δὲ καὶ Παῦλος ὁ ὑψηλὸς τὴν διάνοιαν, εἰπὼν ὅτι Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται. αὕτη ἐστὶν ἡ λεία καὶ ἀπότομος πέτρα ἡ μηδεμίαν ἐφ' ἑαυτῆς τῶν νοημάτων βάσιν ὑποδεικνύουσα, ἣν καὶ ὁ Μωϋσῆς ὡσαύτως ἀπρόσιτον ἐν τοῖς καθ' ἑαυτὸν δόγμασιν ἀπεφήνατο ὡς μηδαμοῦ δύνασθαι προσβῆναι ἡμῶν τὴν διάνοιαν, πάσης ἀντιλήψεως ἀποξεσθείσης διὰ τῆς ἀποφάσεως· Οὐκ ἔστι γάρ, φησίν, ὅστις ὄψεται κύριον καὶ ζήσεται. ἀλλὰ μὴν αἰώνιος ζωὴ τὸ ἰδεῖν ἐστι τὸν θεόν· τοῦτο δὲ ἀμήχανον οἱ στύλοι τῆς πίστεως, Ἰωάννης καὶ Παῦλος καὶ Μωϋσῆς, διορίζονται. ὁρᾷς τὸν ἴλιγγον ᾧ ἡ ψυχὴ πρὸς τὸ βάθος τῶν ἐν τῷ λόγῳ θεωρουμένων συνέλκεται; εἰ ζωὴ ὁ θεός, ὁ μὴ ἰδὼν αὐτὸν τὴν ζωὴν οὐ βλέπει· τὸ μὴ δύνασθαι ἰδεῖν οἱ θεοφόροι τῶν προφητῶν τε καὶ

14 Ioh 1, 18 15 I Tim 6, 16 21 Ex 33, 20

3 ἀδιεξήγητον VM et in marg scr K² ἀδιεξίητον W (cf Con Eun I² 135, 25) 4 βλέπουσα v 7 περιβεβλημένη WK 10 μου Ψv ἡ om v 13 καθαροῖς VM θεὸς ὃν ΦΖ: θεὸν Ψv 15 ὅτι om VM 16 ἀνθρώπων οὐδεὶς Φ οὐδὲ: οὔτε WΨv 18 βάσιν om VM ὁ om VM 19 ἐν om WΨv 20-21 ἀποξυσθείσης Ψv 22 κύριον: τὸ πρόσωπον κυρίου Φ(τὸ om W)Ζ ἡ αἰώνιος Φ 23 ἐστιν post θεόν coll VM 24 μωσῆς v 25 ἴλιγνον v ἡ om v τῷ om VM 26 εἰ: ἡ ΦΖ 27 θεὸν post ἰδεῖν add v

ἀποστόλων διαμαρτύρονται. εἰς τί τοῖς ἀνθρώποις ἡ ἐλπὶς περιΐσταται; ἀλλ' ὑποστηρίζει καταπίπτουσαν τὴν ἐλπίδα ὁ
1265 M. κύριος, καθάπερ ἐπὶ τοῦ Πέτρου ἐποίησεν, κινδυνεύοντα βυθισθῆναι πάλιν ἐπὶ στερροῦ τε καὶ ἀντιτύπου στήσας τοῦ ὕδατος. εἰ τοίνυν ἔλθοι καὶ ἐφ' ἡμᾶς ἡ τοῦ λόγου χεὶρ καὶ ἀστατοῦντας ἐν τῷ βυθῷ τῶν θεωρημάτων ἐπὶ σταθεροῦ νοήματος καταστήσειεν, ἔξω τοῦ φόβου ἐσόμεθα, ἰσχυρῶς τοῦ χειραγωγοῦντος ἡμᾶς λόγου περιδραξάμενοι. Μακάριοι γάρ, φησίν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

Ἡ μὲν οὖν ἐπαγγελία τοσαύτη ὡς παριέναι τὸν ἀκρότατον τῆς μακαριότητος ὅρον. τί γὰρ ἄν τις μετὰ τὸ τοιοῦτον ἀγαθὸν ἄλλο ποθήσειεν, πάντα ἔχων ἐν τῷ ἑωραμένῳ; τὸ γὰρ ἰδεῖν ταὐτὸν σημαίνει τῷ σχεῖν ἐν τῇ τῆς γραφῆς συνηθείᾳ, καθάπερ τὸ Ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλήμ, ἀντὶ τοῦ εὕροις τοῦ λόγου σημαίνοντος, καὶ τὸ Ἀρθήτω ὁ ἀσεβὴς ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου, διὰ τοῦ μὴ ἰδεῖν τὸ μὴ μετασχεῖν τοῦ προφήτου δηλοῦντος. οὐκοῦν ὁ τὸν θεὸν ἰδὼν πᾶν ὅπερ ἐστὶν ἐν ἀγαθῶν καταλόγῳ διὰ τοῦ ἰδεῖν ἔσχεν, τὴν ἀτελεύτητον ζωήν, τὴν ἀΐδιον ἀφθαρσίαν, τὴν ἀθάνατον μακαριότητα, τὴν ἀτέλεστον βασιλείαν, τὴν ἄληκτον εὐφροσύνην, τὸ ἀληθινὸν φῶς, τὴν πνευματικὴν καὶ γλυκεῖαν φωνήν, τὴν ἀπρόσιτον δόξαν, τὸ διηνεκὲς ἀγαλλίαμα, τὸ πᾶν ἀγαθόν. τὸ μὲν οὖν κατ' ἐλπίδα προκείμενον ἐν τῇ τῆς μακαριότητος ἐπαγγελίᾳ τοιοῦτόν τε καὶ τοσοῦτον. ἐπεὶ δὲ ὁ τρόπος τοῦ ἰδεῖν διὰ τοῦ καθαρὸν γενέσθαι τῇ καρδίᾳ προδέδεικται, ἐν τούτῳ μοι πάλιν ἰλιγγιᾷ ἡ διάνοια, μὴ ἄρα τῶν ἀμηχάνων τε καὶ ὑπερβαινόντων τὴν φύσιν ἡμῶν ἡ καθαρότης τῆς

3-5 cf Matth 14, 28-31 14 Ps 127, 5 15-16 Is 26, 10
21 cf Matth 3, 17 (φωνήν)

3 κινδυνεύοντος VMΨv 4 ἐπὶ στερροῦ τε: ὑποστεροῦται V ἐπὶ: ὑπὸ M τε om Ψv 5 ἔλθῃ Ψv 6 θατέρου Ψv 7 γινόμεθα v ἰσχυροῦ VM 9 οἱ om v 10 τοιαύτη VM παρεῖναι VM 11 τὸ om Φ 12 τῷ om v 13 τῷ: τὸ MΨ(τῷ R^2)Z 16 τὴν δόξαν post μετασχεῖν add VM 18 ἀγαθῷ Φ 20 ἀτελεύτητον VMv 21 τε ante καὶ add VW φωνήν: τροφήν VMZ τρυφήν W (cf Or dom 39, 3) 23 τῆς om v

καρδίας ἐστίν. εἰ γὰρ διὰ τοῦτο ὁ θεὸς ὁρᾶται, Μωϋσῆς δὲ οὐκ εἶδε καὶ Παῦλος τὸ μήτε ἑαυτὸν μήτε ἄλλον τινὰ δύνασθαι ἰδεῖν διωρίσατο, ἀδύνατον ἔοικέ τι εἶναι τὸ τῷ μακαρισμῷ νῦν ὑπὸ τοῦ λόγου προκείμενον. τί οὖν ἡμῖν τὸ κέρδος ἐκ τοῦ γνῶναι πῶς ὁ θεὸς ὁρᾶται εἰ τὸ δυνατὸν τῇ ἐπινοίᾳ μὴ πρόσεστιν; ὅμοιον γὰρ τὸ τοιοῦτον ὥσπερ ἂν εἴ τις μακάριον εἶναι λέγοι τὸ ἐν οὐρανῷ γενέσθαι, ὅτι ἐκεῖ κατόψεται τὰ ἐν τῷ κάτω βίῳ μὴ καθορώμενα. εἰ γάρ τις ἦν μηχανὴ τῆς ἐπὶ τὸν οὐρανὸν πορείας διὰ τοῦ λόγου προδεικνυμένη, τὸ μαθεῖν ὅτι μακαριστόν ἐστι τὸ ἐν ἐκείνῳ γενέσθαι χρήσιμον ἂν ἦν τοῖς ἀκούουσιν. ἕως δ' ἂν τὸ κατὰ τὴν ἄνοδον ἀμήχανον ᾖ, τί φέρει κέρδος ἡ γνῶσις τῆς οὐρανίας μακαριότητος, λυποῦσα μόνον τοὺς μεμαθηκότας οἵων διὰ τὸ ἀδύνατον τῆς ἀνόδου ἀπεστερήμεθα; ἆρ' οὖν ἔξω τι τῆς φύσεως ἡμῶν ὁ κύριος ἐγκελεύεται, καὶ ὑπερέβη τὰ μέτρα τῆς ἀνθρωπίνης δυνάμεως τῷ μεγαλείῳ τοῦ ἐπιτάγματος; οὐκ ἔστι ταῦτα. οὔτε γὰρ πτηνοὺς γενέσθαι κελεύει οἷς τὸ πτερὸν οὐκ ἐνέφυσεν οὔτε ὑπὸ τὸ ὕδωρ ζῆν οἷς τὸν χερσαῖον ἀπεκλήρωσε βίον. εἰ οὖν ἐν πᾶσι τοῖς ἄλλοις πρόσφορός ἐστι τῇ δυνάμει τῶν δεχομένων ὁ νόμος καὶ οὐδὲν ὑπὲρ τὴν φύσιν βιάζεται, καὶ τοῦτο πάντως ἐκ τοῦ ἀκολούθου νοήσομεν, μὴ ἀπ' ἐλπίδος εἶναι τὸ διὰ τοῦ μακαρισμοῦ προδεικνύμενον
1268 M. ἀλλὰ καὶ τὸν Ἰωάννην καὶ τὸν Παῦλον καὶ τὸν Μωϋσέα καὶ εἴ τις ἄλλος κατ' ἐκείνους ἐστὶ μὴ ἐκπεπτωκέναι τῆς ὑψηλῆς ταύτης μακαριότητος τῆς ἐκ τοῦ ἰδεῖν τὸν θεὸν προσγινομένης, μήτε τὸν εἰπόντα ὅτι Ἀπόκειταί μοι ὁ τῆς δικαιο-

26 II Tim 4, 8

1 τούτου Φ(e τοῦτο corr fort W)Z   μωσῆς Ψv   2 εἶδον Ψ ἴδον v   καὶ παῦλος ante οὐκ coll Ψv   καὶ ante τὸ add VM αὐτῶ VM   αὐτὸν Ψv   ἄλλω τινὶ VM   3 διωρίσαντο Ψ   τι ἔοικεν VM   7 γεγενῆσθαι VM   8 κάτω WNS: κατωτάτω VM om Ψv   12-13 τῆς μακαριότητος τῆς οὐρανίας Ψv   οὐρανίου VM 13 οἷον Φ   14 ἀποστερήμεθα v   τι om Ψv   17 κελεύει γενέσθαι VM   18 οὔτε: οὐδὲ Ψv   τὸ om Mv   19 οὐκ ante ἀπεκλήρωσε add Ψ   20 ἐν ante τῇ add VM   21 πάντως: πάλιν VM νοήσωμεν ΦNE   22 διὰ: ἀπὸ VM   23 μωσέα VMΨv   26 μηδὲ Ψv

σύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής, μήτε τὸν ἐπὶ τὸ στῆθος ἀναπεσόντα τοῦ Ἰησοῦ μήτε τὸν ἀκηκοότα παρὰ τῆς θείας φωνῆς ὅτι Ἔγνων σε παρὰ πάντας. εἰ οὖν ἐκεῖνοι παρ᾽ ὧν ὑπὲρ δύναμιν ἡ τοῦ θεοῦ κατανόησις εἶναι κεκήρυκται μακαριστοὶ εἶναι οὐκ ἀμφιβάλλονται, ἡ δὲ μακαριότης ἐκ τοῦ ἰδεῖν τὸν θεόν ἐστιν, τοῦτο δὲ ἐκ τοῦ καθαρὸν τῇ καρδίᾳ γενέσθαι, ἄρα οὐκ ἀδύνατος τῆς καρδίας ἡ καθαρότης δι᾽ ἧς ἔστι γενέσθαι μακάριον. πῶς οὖν ἔστι καὶ τοὺς κατὰ Παῦλον ἀληθῆ λέγειν φῆσαι, ὑπὲρ τὴν δύναμιν ἡμῶν ἀποφαινομένους εἶναι τὴν τοῦ θεοῦ κατανόησιν, καὶ τὴν τοῦ κυρίου φωνὴν μὴ ἀντιδογματίζειν ἐκείνοις, ἐν καθαρότητι ὀφθήσεσθαι τὸν θεὸν ὑπισχνουμένην;

Δοκεῖ μοι καλῶς ἔχειν περὶ τούτων [χρῆναι] διὰ βραχέων πρῶτον διαλαβεῖν, ὡς ἂν καθ᾽ ὁδὸν γένοιτο ἡμῖν ἡ περὶ τὸ προκείμενον θεωρία. ἡ θεία φύσις αὐτὴ καθ᾽ ἑαυτὴν ὅ τι ποτὲ κατ᾽ οὐσίαν ἐστὶ πάσης ὑπέρκειται καταληπτικῆς ἐπινοίας, ἀπρόσιτός τε καὶ ἀπροσπέλαστος οὖσα ταῖς στοχαστικαῖς ὑπονοίαις, καὶ οὔπω τις ἐν ἀνθρώποις πρὸς τὴν τῶν ἀλήπτων κατανόησιν ἐξεύρηται δύναμις, οὐδέ τις ἔφοδος καταληπτικὴ τῶν ἀμηχάνων ἐπενοήθη. διὸ καὶ ἀνεξιχνιάστους τὰς ὁδοὺς αὐτοῦ ὁ μέγας ὀνομάζει ἀπόστολος, σημαίνων διὰ τοῦ λόγου τὸ ἀνεπίβατον εἶναι λογισμοῖς τὴν ὁδὸν ἐκείνην ἣ πρὸς τὴν γνῶσιν τῆς θείας οὐσίας ἄγει, ὡς οὔπω τινὸς τῶν προωδευκότων τὸν βίον ἴχνος τι καταληπτικῆς ἐπινοίας ἐνσημηναμένου τῇ γνώσει τοῦ ὑπὲρ γνῶσιν πράγματος. τοιοῦτος δὲ ὢν κατὰ τὴν φύσιν ὁ ὑπὲρ πᾶσαν φύσιν, ἄλλῳ λόγῳ καὶ ὁρᾶται καὶ καταλαμβάνεται ὁ ἀόρατός τε

1-2 cf Ioh 13, 25; 21, 20 3 Ex 33, 17 14 cf Plat Resp 435A (καθ᾽ ὁδὸν) 21 Rom 11, 33

2 ἀναπεπτωκότα Φ 6 ἐκ τοῦ pr: εἰς τὸ v ἐστι τὸν θεόν Φ 7 γενέσθαι τῇ καρδίᾳ VM 10 ἀποφηναμένους VM ὑποφαινομένους v 12 ὑπισχομένην v 13 τούτου v τοῦ ante χρῆναι add VM χρῆναι secundum Z (ut vid) delevi 14 λαβεῖν Ψv ἡ om W ante θεωρία 15 coll Ψv 14-15 τοῦ προκειμένου W ἑαυτὴν: αὐτὴν v 17 τε om Ψv 18 ἐπινοίαις Ψv ἐν om v 19 ἐκλήπτων v κατανόησιν om VM 24 προοδευκότων VM 25 σημαινομένου Ψv 26 δὲ: τε VM ὁ: πρᾶγμα τὸ VM

καὶ ἀκατάληπτος. πολλοὶ δὲ οἱ τῆς τοιαύτης κατανοήσεως τρόποι. ἔστι γὰρ καὶ διὰ τῆς ἐμφαινομένης τῷ παντὶ σοφίας τὸν ἐν σοφίᾳ πάντα πεποιηκότα στοχαστικῶς ἰδεῖν, καθάπερ καὶ ἐπὶ τῶν ἀνθρωπίνων δημιουργημάτων ὁρᾶται τρόπον τινὰ τῇ διανοίᾳ ὁ δημιουργὸς τοῦ προκειμένου κατασκευάσματος, τὴν τέχνην τῷ ἔργῳ ἐναποθέμενος. ὁρᾶται δὲ οὐχ ἡ φύσις τοῦ τεχνιτεύσαντος ἀλλὰ μόνη ἡ τεχνικὴ ἐπιστήμη ἣν ὁ τεχνίτης τῇ κατασκευῇ ἐναπέθετο. οὕτως καὶ πρὸς τὸν ἐν τῇ κτίσει βλέποντες κόσμον, ἔννοιαν οὐ τῆς οὐσίας ἀλλὰ τῆς σοφίας τοῦ κατὰ πάντα σοφῶς πεποιηκότος ἀνατυπούμεθα. κἂν τῆς ἡμετέρας ζωῆς τὴν αἰτίαν λογισώμεθα, ὅτι οὐκ ἐξ ἀνάγκης ἀλλ' ἐξ ἀγαθῆς προαιρέσεως ἦλθεν εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, πάλιν καὶ διὰ τούτου τοῦ τρόπου καθεωρακέναι λέγομεν τὸν θεόν, τῆς ἀγαθότητος οὐ τῆς οὐσίας ἐν περινοίᾳ γενόμενοι· οὕτω καὶ τὰ ἄλλα πάντα ὅσα πρὸς τὸ κρεῖττόν
1269 M. τε καὶ ὑψηλότερον ἀνάγει τὴν ἔννοιαν, θεοῦ κατανόησιν τὰ τοιαῦτα κατονομάζομεν, ἑκάστου τῶν ὑψηλῶν νοημάτων τὸν θεὸν ἡμῖν εἰς ὄψιν ἄγοντος. ἡ γὰρ δύναμις καὶ ἡ καθαρότης καὶ τὸ ὡσαύτως ἔχειν καὶ τὸ ἀμιγὲς τοῦ ἐναντίου καὶ πάντα τὰ τοιαῦτα θείας τινὸς καὶ ὑψηλῆς ἐννοίας ἐντυποῖ ταῖς ψυχαῖς τὴν φαντασίαν. οὐκοῦν δείκνυται διὰ τῶν εἰρημένων πῶς καὶ ὁ κύριος ἀληθεύει, ὀφθήσεσθαι τὸν θεὸν τοῖς καθαροῖς τὴν καρδίαν ἐπαγγειλάμενος, καὶ ὁ Παῦλος οὐ ψεύδεται, μήτε ἑωρακέναι τινὰ τὸν θεὸν μήτ' ἰδεῖν δύνασθαι διὰ τῶν ἰδίων λόγων ἀποφηνάμενος. ὁ γὰρ τῇ φύσει ἀόρατος ὁρατὸς ταῖς ἐνεργείαις γίνεται, ἔν τισι τοῖς περὶ αὐτὸν ἰδιώμασι καθορώμενος.

Ἀλλ' οὐ πρὸς τοῦτο βλέπει μόνον τοῦ μακαρισμοῦ ἡ

3 cf Ps 103, 24 8-10 cf Rom 1, 20 11-13 cf Plat Tim 47E-48A; 68E-69A; Leg 967A; Plotin III, ii, 2 25-26 cf Eph 1, 19; 3, 7; Philipp 3, 21; Col 1, 29; 2, 12 (ἐνεργείαις)

1 ἀπερίληπτος Ψ ἀπερίγραπτος v 3 τὸν τὰ πάντα ἐν σοφίᾳ ποιήσαντα (-τι V)VM 5 ἐκ ante τοῦ add VM 7 τεχνιτεύσαντος K²AE: τεχνητεύσαντος ΦΨv μόνον Ψv 10 κατά: τὰ Φ 22-23 καθαροῖς τὴν καρδίαν ΦZ: καρδίαν ἔχουσι καθαρὰν Ψv 25 ἰδίων: οἰκείων v ἀποφηνάμενος λόγων VM 26 ἰδιώμασι om v

διάνοια, τὸ ἔκ τινος ἐνεργείας τὸν ἐνεργοῦντα δύνασθαι τοιοῦτον ἀναλογίσασθαι· γένοιτο γὰρ ἂν ἴσως καὶ τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς διὰ τῆς τοῦ κόσμου εὐαρμοστίας ἡ τῆς ὑπερκειμένης σοφίας τε καὶ δυνάμεως κατανόησις. ἀλλ᾽ ἕτερόν μοι δοκεῖ ἡ τοῦ μακαρισμοῦ μεγαλοφυΐα τοῖς δυναμένοις δέξασθαι τὴν συμβουλὴν ὑφηγεῖσθαι· τὸ δέ μοι παραστὰν νόημα δι᾽ ὑποδειγμάτων σαφηνισθήσεται. ἀγαθόν τι κατὰ τὸν ἀνθρώπινόν ἐστι βίον ἡ ὑγίεια τοῦ σώματος· ἀλλὰ μακάριον οὐ τὸ εἰδέναι μόνον τῆς ὑγιείας τὸν λόγον ἀλλὰ τὸ ἐν ὑγιείᾳ ζῆν. εἰ γάρ τις ἐγκώμια διεξιὼν τῆς ὑγιείας τὴν νοσώδη καὶ κακόχυμον αἱροῖτο τροφήν, τί τῶν ἐγκωμίων τῆς ὑγιείας ἀπώνατο ταῖς ἀρρωστίαις ἐπιτριβόμενος; οὕτω τοίνυν νοήσωμεν καὶ τὸν προκείμενον λόγον, ὅτι οὐ τὸ γνῶναί τι περὶ θεοῦ μακάριον ὁ κύριος εἶναί φησιν ἀλλὰ τὸ ἐν ἑαυτῷ σχεῖν τὸν θεόν. Μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. οὐ γάρ μοι δοκεῖ ὡς ἀντιπρόσωπόν τι θέαμα τὸν θεὸν προτιθέναι τῷ κεκαθαρμένῳ τὸν τῆς ψυχῆς ὀφθαλμόν, ἀλλὰ τοῦτο τάχα ἡ τοῦ ῥητοῦ μεγαλοφυΐα ἡμῖν ὑποτίθεται, ὃ καὶ πρὸς ἑτέρους γυμνότερον ὁ λόγος παρίστησιν, ἐντὸς ἡμῶν εἶναι τοῦ θεοῦ τὴν βασιλείαν εἰπών, ἵνα διδαχθῶμεν ὅτι ὁ πάσης ἐμπαθοῦς διαθέσεως τὴν ἑαυτοῦ καρδίαν ἀποκαθάρας ἐν τῷ ἰδίῳ κάλλει τῆς θείας φύσεως καθορᾷ τὴν εἰκόνα. καί μοι δοκεῖ δι᾽ ὀλίγων ὧν εἶπεν τοιαύτην συμβουλὴν περιέχειν ὁ λόγος, ὅτι Ὦ ἄνθρωποι, ὅσοις ἐστί τις ἐπιθυμία τῆς τοῦ ὄντως ἀγαθοῦ θεωρίας, ἐπειδὰν ἀκούσητε ὑπὲρ τοὺς οὐρανοὺς

3 cf I Cor 2, 6; 3, 18-19 16 sqq cf Plotin I, vi, 9; III, viii, 11; V, viii, 11; VI, ix, 11 al

1 δύνασθαι om ΦΖ 2 τοιοῦτον om W 3 τούτου post κόσμου add Φ 6 κατιδεῖν τὸ ποθούμενον post δέξασθαι add W² (in marg scr et τὸν habet W²)Ψv (cf 143, 4) βουλὴν VM (cf 23) 8 ἡ om v 12 τῆς ἀρρωστίας ἐπιτριβομένης VM 13 νόησον Φ 14 θεοῦ: τοῦ κυρίου VM 15 φησιν post γὰρ add ΦΖ 19 ὁ λόγος γυμνότερον WΨv παρέστησεν VM 20 ὑμῶν ΨΖv τὴν βασιλείαν τοῦ θεοῦ Ψv 21 τῆς κτίσεως καὶ post πάσης add Ψv 21-22 ἀποκαθήρας W²Ψv 22 τῆς φύσεως τῆς θείας VM 23-24 περιέχειν: ὑφηγεῖσθαι VM (cf 6) 24 ὅσοι ἐστὲ τῆς ἐπιθυμίας VM 25 ὄντως V(ν sscr et ω fort e corr V)ΨΖ: ὄντος WM ἀκούσηται WM

ἐπῆρθαι τὴν θείαν μεγαλοπρέπειαν καὶ τὴν δόξαν αὐτῆς ἀνερμήνευτον εἶναι καὶ τὸ κάλλος ἄφραστον καὶ τὴν φύσιν ἀχώρητον, μὴ ἐκπίπτετε εἰς ἀνελπιστίαν τοῦ μὴ δύνασθαι κατιδεῖν τὸ ποθούμενον. τὸ γάρ σοι χωρητὸν τῆς τοῦ θεοῦ
1272 M. κατανοήσεως μέτρον ἐν σοί ἐστιν, οὕτω τοῦ πλάσαντός σε τὸ τοιοῦτον ἀγαθὸν εὐθὺς τῇ φύσει κατουσιώσαντος. τῶν γὰρ τῆς ἰδίας φύσεως ἀγαθῶν ὁ θεὸς ἐνετύπωσε τῇ σῇ κατασκευῇ τὰ μιμήματα, οἷόν τινα κηρὸν σχήματι γλυφῆς προστυπώσας. ἀλλ᾽ ἡ κακία τῷ θεοειδεῖ χαρακτῆρι περιχυθεῖσα ἄχρηστον ἐποίησέ σοι τὸ ἀγαθὸν ὑποκεκρυμμένον τοῖς αἰσχροῖς προκαλύμμασιν. εἰ οὖν ἀποκλύσειας πάλιν δι᾽ ἐπιμελείας βίου τὸν ἐπιπλασθέντα τῇ καρδίᾳ σου ῥύπον, ἀναλάμψει σοι τὸ θεοειδὲς κάλλος. ὥσπερ ἐπὶ τοῦ σιδήρου γίνεσθαι πέφυκεν, ὅταν δι᾽ ἀκόνης τοῦ ἰοῦ γυμνωθῇ, ὁ πρὸ ὀλίγου μέλας αὐγάς τινας ἐφ᾽ ἑαυτοῦ πρὸς τὸν ἥλιον στίλβων καὶ λαμπηδόνας ἐκδίδωσιν, οὕτως καὶ ὁ ἔνδον ἄνθρωπος, ὃν καρδίαν ὀνομάζει ὁ κύριος, ἐπειδὰν ἀποξύσηται τὸν ἰώδη ῥύπον τὸν διὰ τοῦ πονηροῦ εὐρῶτος ἐπανθήσαντα τῇ μορφῇ, πάλιν ἀναλήψεται τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα καὶ ἀγαθὸς ἔσται. τὸ γὰρ ἀγαθῷ ὅμοιον ἀγαθὸν πάντως. οὐκοῦν ὁ ἑαυτὸν βλέπων ἐν ἑαυτῷ τὸ ποθούμενον βλέπει, καὶ οὕτω γίνεται μακάριος ὁ καθαρὸς τῇ καρδίᾳ, ὅτι πρὸς τὴν ἰδίαν καθαρότητα βλέπων ἐν τῇ εἰκόνι καθορᾷ τὸ ἀρχέτυπον. ὥσπερ γὰρ οἱ ἐν κατόπτρῳ καθορῶντες τὸν ἥλιον, κἂν μὴ πρὸς αὐτὸν τὸν οὐρανὸν ἀποβλέψωσιν ἀτενές, οὐδὲν ἔλαττον ὁρῶσι τὸν ἥλιον ἐν τῇ τοῦ κατόπτρου αὐγῇ τῶν πρὸς αὐτὸν ἀποβλεπόντων τοῦ ἡλίου τὸν κύκλον, οὕτω, φησί, καὶ ὑμεῖς, κἂν ἀτονῆτε πρὸς κατανόησιν τοῦ ἀπροσίτου φωτός, ἐὰν ἐπὶ

16 cf Rom 7, 22; II Cor 4, 16; Eph 3, 16; Plat Phaedr 279B; Resp 589A-B; Clem Alex Paed III, 1; Plotin I, i, 10, 15 al 17 cf I Petr 3, 4 al 20 sqq cf II Cor 3, 18; Theophil Ad Aut I, 2; Athanas Con gen 34; In Cant VI 90, 10 sqq

1 μεγαλοδωρεὰν VM 4 τὸν ποθούμενον VM (cf 21) 9 προτυπώσας MΨv 14 γὰρ post ὅταν add VM γυμνωθείη VM 15 ἐφ᾽: ἀφ᾽ VM 17 ἀποξύση VM 18 ἔρωτος VM 20 τὸ: τῶ W τῶ ante ἀγαθῶ add VM 22 διότι VM 24 ὁρῶντες Ψv 25 ἀτενὲς ἀποβλέψωσιν Φ 28 ἀτονεῖτε V ἀτονεῖται W τοῦ ἀπροσίτου om v

τὴν ἐξ ἀρχῆς ἐγκατασκευασθεῖσαν ὑμῖν χάριν τῆς εἰκόνος ἐπαναδράμητε, ἐν ἑαυτοῖς τὸ ζητούμενον ἔχετε. καθαρότης γὰρ καὶ ἀπάθεια καὶ κακοῦ παντὸς ἀλλοτρίωσις ἡ θεότης ἐστίν. εἰ οὖν ταῦτα ἐν σοί, ὁ θεὸς πάντως ἐστὶν ἐν σοί. ὅταν οὖν ἀμιγὴς πάσης κακίας καὶ πάθους ἐλεύθερος καὶ παντὸς κεχωρισμένος μολύσματος ὁ ἐν σοὶ λογισμὸς ᾖ, μακάριος εἶ τῆς ὀξυωπίας, ὅτι τὸ τοῖς μὴ καθαρθεῖσιν ἀθέατον ἐκκαθαρθεὶς κατενόησας καί, τῆς ὑλικῆς ἀχλύος τῶν τῆς ψυχῆς ὀμμάτων ἀφαιρεθείσης, ἐν καθαρᾷ τῇ τῆς καρδίας αἰθρίᾳ τηλαυγῶς βλέπεις τὸ μακάριον θέαμα. τοῦτο δέ ἐστι τί; ἡ καθαρότης, ὁ ἁγιασμός, ἡ ἁπλότης, πάντα τὰ τοιαῦτα τὰ φωτοειδῆ τῆς θείας φύσεως ἀπαυγάσματα δι᾽ ὧν ὁ θεὸς ὁρᾶται.

᾽Αλλὰ τὸ μὲν ταῦτα οὕτως ἔχειν ἐκ τῶν εἰρημένων οὐκ ἀμφιβάλλομεν. ἔτι δὲ ἡμῖν ὁ λόγος τὸ ἐξ ἀρχῆς ἀπορηθὲν ἐπὶ τῆς αὐτῆς ἀμηχανίας βλέπει. ὡς γὰρ ὁ ἐν οὐρανῷ γενόμενος ἐν μετουσίᾳ τῶν οὐρανίων θαυμάτων ἐστίν, ὁ δὲ ταύτης τῆς ἀνόδου τρόπος ἀμήχανος ὢν οὐδὲν ἡμῖν τῶν διωμολογημένων κέρδος ποιεῖ, οὕτως ἐκ τοῦ καθαρθῆναι τὴν καρδίαν τὸ μακάριον γενέσθαι οὐκ ἀμφιβάλλεται, τὸ δ᾽ ὅπως ἄν τις αὐτὴν τῶν μολυνθέντων ἀποκαθάρειεν ἴσον ἄντικρυς εἶναι δοκεῖ τῆς ἐπὶ τὸν οὐρανὸν ἀναβάσεως. ποία τοίνυν κλίμαξ τοῦ ᾽Ιακώβ, ποῖον εὑρεθήσεται πύρινον ἅρμα καθ᾽ ὁμοιότητα τοῦ τὸν προφήτην ᾽Ηλίαν πρὸς οὐρανὸν ἀνυψώσαντος, ᾧ
1273 M. πρὸς τὰ ἄνω θαύματα ἡ καρδία ἡμῶν ἐπαρθεῖσα τὸ γήϊνον τοῦτο βάρος ἀποτινάξεται; εἰ γάρ τις ἐν περινοίᾳ γένοιτο τῶν ἀναγκαίων τῆς ψυχῆς παθημάτων, ἄπορον οἰήσεται καὶ

23-24 cf IV Regn 2, 11

1 προεγκατασκευασθεῖσαν VM (-θήσαν M) 3 καὶ post γὰρ om v 4 ἐστι post σοί pr add v ὁ om v ἐν σοί (alt) ἐστιν v 9 καρδίας: ψυχῆς VM 10 τί om VM 11 ὁ ἁγιασμὸς ἡ καθαρότης Ψ ἡ ante καθαρότης om v τὰ alt: om VM τῷ K 12 φωτοειδῆ R φωτοειδεῖ K 15 ὁ λόγος ἡμῖν VM 17 ἐπουρανίων VM ἐστίν: ἔσται Φ ταύτης om Ψv 18 τῆς om W ὢν v 19 μὲν ante τὴν add VM 21 μολυνόντων Φ post quod αὐτὴν coll VM ἀποκαθάραι VM 24 ᾧ: ὡς VM 26 γένηται VM

ἀμήχανον τὴν τῶν συνεζευγμένων κακῶν ἀναχώρησιν. εὐθὺς ἐκ πάθους ἡμῖν ἡ γένεσις ἄρχεται, καὶ διὰ πάθους ἡ αὔξησις πρόεισιν, καὶ εἰς πάθος ἡ ζωὴ καταλήγει, καὶ ἀνακέκραταί πως τὸ κακὸν πρὸς τὴν φύσιν διὰ τῶν ἐξ ἀρχῆς παραδεξαμένων τὸ πάθος τῶν διὰ τῆς παρακοῆς εἰσοικισαμένων τὴν νόσον. ὥσπερ δὲ τῇ διαδοχῇ τῶν ἐπιγινομένων καθ' ἕκαστον εἶδος τῶν ζῴων ἡ φύσις συνδιεξέρχεται, ὡς ταὐτὸν εἶναι τὸ γενόμενον κατὰ τὸν τῆς φύσεως λόγον τῷ ἐξ οὗ γέγονεν, οὕτως ἐξ ἀνθρώπου ἄνθρωπος γίνεται, ἐξ ἐμπαθοῦς ἐμπαθής, ἐξ ἁμαρτωλοῦ τοιοῦτος. οὐκοῦν συνυφίσταται τρόπον τινὰ τοῖς γινομένοις ἡ ἁμαρτία, συναποτικτομένη τε καὶ συναύξουσα καὶ τῷ τῆς ζωῆς ὅρῳ συγκαταλήγουσα. ἀλλὰ δυσεπίτευκτον μὲν εἶναι τὴν ἀρετήν, μυρίοις ἱδρῶσι καὶ πόνοις, σπουδῇ καὶ καμάτῳ μόγις κατορθουμένην, πολλαχῇ παρὰ τῆς θείας γραφῆς ἐδιδάχθημεν, τεθλιμμένην καὶ διὰ στενοῦ προϊοῦσαν τὴν ὁδὸν τῆς βασιλείας ἀκούσαντες, πλατεῖαν δὲ καὶ κατάντη καὶ ἐπίδρομον τὴν διὰ κακίας τὸν βίον ἐπὶ τὴν ἀπώλειαν ἄγουσαν. οὐ μὴν καθόλου ἀμήχανον τὴν ὑψηλὴν ζωὴν ἡ γραφὴ διωρίσατο ἡ τοσούτων ἡμῖν ἀνδρῶν ἐν ταῖς ἱεραῖς βίβλοις ἐκθεμένη τὰ θαύματα. ἀλλὰ [ἐπειδὴ] διπλῆς οὔσης τῆς διανοίας τῇ τοῦ ἰδεῖν τὸν θεὸν ἐπαγγελίᾳ, μιᾶς μὲν τοῦ γνῶναι τὴν τοῦ παντὸς ὑπερκειμένην φύσιν, ἑτέρας δὲ τοῦ ἀνακραθῆναι πρὸς αὐτὸν διὰ τῆς κατὰ τὴν ζωὴν καθαρότητος, τὸ μὲν πρότερον τῆς κατανοήσεως εἶδος ἀμήχανον εἶναι ἡ τῶν ἁγίων φωνὴ διορίζεται, τὸ δὲ δεύτερον ὑπισχνεῖται τῇ ἀνθρωπίνῃ φύσει διὰ τῆς παρούσης διδασκα-

15-18 cf Matth 7, 13-14; Luc 13, 24

1 τὴν—12-13 συγκαταλήγουσα om V   3 τὸ πάθος Ψv   καὶ alt om ΦZ   4 πως om Φ   διὰ: παρὰ M   7 τῶν om Φ   8 γεννώμενον MA   λόγον: νόμον M   τῷ MA: τὸ W τοῦ Ψv   11 ἡ ἁμαρτία τοῖς γιγνομένοις (sic) M   12 τε om M   13 μὲν Φ(μὴν quod post ἀλλὰ coll V)Z: ἡμῖν Ψv (vide οὐ μὴν 18)   14 ἐν ante σπουδῇ add VM (cf 147, 24)   μόλις VM   16 τε ante καὶ add VM   17 δὲ: τε Ψv   εὐπερίδρομον VM (cf Con Eun I[2] 325, 19)   18 ἀπάγουσαν Ψv   19 ἡμῖν om ΨZv   20 ἐπειδὴ delevi   21 ἐν ante τῇ add Ψv   τῆς—ἐπαγγελίας VM   22 τοῦ pr: τὸ W   23 τοῦ: τὸ Φ   κατὰ τὴν ζωὴν: καθ' ἑαυτὸν VM

λίας ὁ κύριος εἰπών, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

Τὸ δ᾽ ὅπως ἔστι καθαρὸν γενέσθαι, διὰ πάσης σχεδὸν τῆς εὐαγγελικῆς διδασκαλίας ἔξεστί σοι τὸ τοιοῦτον μαθεῖν. τοῖς γὰρ ἐφεξῆς ἐπιδραμὼν παραγγέλμασι σαφὲς εὑρήσεις τὸ τῆς καρδίας καθάρσιον. εἰς δύο γὰρ διελὼν τὴν κακίαν, τήν τε διὰ τῶν ἔργων καὶ τὴν ἐν νοήμασι συνισταμένην, πρότερον μὲν διὰ τοῦ ἀρχαίου νόμου τὴν διὰ τῶν ἔργων φανερουμένην ἀδικίαν ἐκόλασεν, νυνὶ δὲ περὶ τὸ ἕτερον τῆς ἁμαρτίας εἶδος βλέπειν τὸν νόμον ἐποίησεν, οὐ τὸ ἔργον τὸ πονηρὸν τιμωρούμενος, ἀλλ᾽ ὅπως ἂν μηδὲ τὴν ἀρχὴν γένοιτο τὸ κακὸν προμηθούμενος. τὸ γὰρ τῆς προαιρέσεως ἐξελεῖν τὴν κακίαν ἐκ πολλοῦ τοῦ περιόντος ἐστὶν ἀλλότριον τῶν πονηρῶν ἔργων τὸν βίον ἐργάσασθαι. πολυμεροῦς δὲ καὶ πολυειδοῦς τῆς κακίας οὔσης, ἑκάστῳ τῶν ἀπηγορευμένων ἰδίαν τὴν διὰ τῶν παραγγελμάτων θεραπείαν ἀντέθηκεν. καὶ ἐπειδὴ πρόχειρον ὡς ἐπὶ πολὺ παρὰ πάντα τὸν βίον τὸ κατὰ τὴν ὀργήν ἐστιν ἀρρώστημα, ἐκ τοῦ μᾶλλον ἐπικρατοῦντος τῆς θεραπείας ἄρχεται, τὸ ἀόργητον ἐν πρώτοις νομοθετήσας. ἐδιδάχθης, φησί, παρὰ τοῦ ἀρχαιο-
1276 M. τέρου νόμου τὸ μὴ φονεῦσαι· νῦν μάθε τὸ χωρίσαι τῆς ψυχῆς τὴν κατὰ τῶν ὁμοφύλων ὀργήν. οὐ γὰρ καθόλου τὴν ὀργὴν ἀπεῖπεν—ἔστι γὰρ καὶ ἐπὶ καλῷ ποτε τῇ τοιαύτῃ τῆς ψυχῆς ὁρμῇ χρήσασθαι—ἀλλὰ τὸ πρὸς τὸν ἀδελφὸν ὀργιστικῶς ποτε σχεῖν ἐπὶ μηδενὶ ἀγαθῷ, τοῦτο τῇ παραγγελίᾳ κατέσβεσεν. Πᾶς γὰρ ὁ ὀργιζόμενος, φησί, τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ. ἡ γὰρ προσθήκη τοῦ εἰκῇ δείκνυσι τὸ εὔκαιρον πολλάκις τῆς τοῦ θυμοῦ χρήσεως, ὅταν ἐπὶ κολάσει τῆς

20 Matth 5, 21-22; cf Ex 20, 15; Deut 5, 18

12 τὸ κακὸν om v 14 τε ante τῶν add VM 15 ἀπηγορουμένων v 16 διὰ om VM ἀντέθηκεν E: τέθεικεν VW ἀντέθεικε(ν) ΜΨ 21 τὸ χωρίσαι: μὴ χωρῆσαι VMZ 21-22 τῇ ψυχῇ VMZ 23 καλοῦ VM 24 χρήσασθαι ὁρμῇ Ψv 25 ποτε σχεῖν: ἐπισχεῖν VM 25-26 ἡ παραγγελία Ψv 26 γὰρ WΨZ: om VM φησί W(in marg scr W)ORZ: εἰπὼν VM om Kv 27 αὐτοῦ: ἐκ τοῦ v

ἁμαρτίας ζέσῃ τὸ πάθος. τοῦτο τὸ εἶδος τῆς ὀργῆς τῷ Φινεὲς ὁ τῆς γραφῆς λόγος προσεμαρτύρησεν, ὅτε τῇ σφαγῇ τῶν παρανομούντων τὴν κατὰ τοῦ λαοῦ κινηθεῖσαν ἀγανάκτησιν τοῦ θεοῦ ἱλεώσατο. πάλιν μεταβαίνει τῇ θεραπείᾳ πρὸς τὰ διὰ τῆς ἡδονῆς πλημμελούμενα, καὶ τῆς μοιχείας τὴν ἄτοπον ἐπιθυμίαν ἐξαιρεῖ τῆς καρδίας διὰ τοῦ παραγγέλματος. οὕτω καὶ τὰ καθ' ἕκαστον πάντα εὑρήσεις ἐν τοῖς ἐφεξῆς διορθοῦντα τὸν κύριον, πρὸς ἕκαστον τῶν τῆς κακίας εἰδῶν ταῖς νομοθεσίαις ἱστάμενον. κωλύει τὸ ἄρχειν ἀδίκων χειρῶν διὰ τοῦ μηδὲ τὸ ἀμύνεσθαι συγχωρῆσαι. ὑπερορίζει τὸ κατὰ πλεονεξίαν πάθος διὰ τοῦ τὸ προσαποδύεσθαι τῷ ἀφελομένῳ καὶ τὸ ὑπολειφθὲν προστάξαι. θεραπεύει τὴν δειλίαν, καταφρονητικῶς πρὸς τὸν θάνατον ἔχειν ἐγκελευσάμενος. καὶ ὅλως δι' ἑκάστου τῶν παραγγελμάτων εὑρήσεις ἀρότρου δίκην τὸν ἀνατμητικὸν λόγον, τὰς πονηρὰς τῶν ἁμαρτιῶν ῥίζας ἐκ τοῦ βάθους τῆς καρδίας ἡμῶν ἀνορύσσοντα, δι' ὧν ἔστι τῆς ἀκανθώδους καθαρθῆναι καρποφορίας.

Οὐκοῦν δι' ἀμφοτέρων εὐεργετεῖ τὴν φύσιν, οἷς τε τὸ ἀγαθὸν ἐπαγγέλλεται, οἷς τε τὴν πρὸς τὸ προκείμενον διδασκαλίαν ἡμῖν ὑποτίθεται. εἰ δὲ ἐπίπονος ἡ τῶν ἀγαθῶν σπουδή σοι νομίζεται, σύγκρινον τῷ ἐναντίῳ βίῳ καὶ εὑρήσεις ὅσον ἐπιπονωτέρα ἐστὶν ἡ κακία, εἰ μὴ πρὸς τὸ παρὸν ἀλλὰ πρὸς τὸ μετὰ τοῦτο βλέποις. ὁ γὰρ γεέννης ἀκούσας οὐκέτι πόνῳ τινὶ καὶ σπουδῇ τῶν κατὰ τὴν ἁμαρτίαν ἡδονῶν χωρισθήσεται, ἀλλ' ἀρκέσει μόνος ὁ φόβος τοῖς

2 Num 25, 6-11 4-6 cf Matth 5, 27-32; Ex 20, 13; Deut 5, 17 9-12 cf Matth 5, 39-40 12-14 cf Matth 10, 28 et 39 al

1 τῷ: τοῦ VM 2 φηνεὲς OR(e -σι corr R)v προεμαρτύρησεν V(-ρισεν V)Ψv 3-4 ἀγανάκτησιν: ἀπειλὴν Ψv 7 τὰ om VM 9 τῇ νομοθεσίᾳ VM ἐνιστάμενον VM τὸ: τοῦ VM 10 τοῦ: τὸ Ψv τὸ om Ψv 11 τὴν πλεονεξίαν VM τὸ alt: om Φ πρὸς τὸ Ψv ἀποδύεσθαι Ψ ἀποδύνεσθαι v 12 ἀφαιρουμένω VM 13-14 ἐκκελευόμενος Ψ(ἐγκ- R^2)v 15 ἀνατμητικὸν: ἀροτριακὸν v 16 ἁμαρτημάτων VM 18 εὐεργετεῖται v 19 πρὸς τὸ om VM 19-20 προκειμένην ἡμῖν διδασκαλίαν VM ἡ om v 22 ὅσω VM 23 ταῦτα v γεέννας v

λογισμοῖς ἐγγενόμενος ἐξορίσαι τὰ πάθη. μᾶλλον δὲ καλῶς ἔχει τὸ τῷ σιωπωμένῳ συνυπακουόμενον κατανοήσαντας σφοδροτέραν ἐντεῦθεν τὴν ἐπιθυμίαν λαβεῖν. εἰ γὰρ μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ἐλεεινοὶ πάντως οἱ κατερρυπωμένοι τὸν νοῦν, ὅτι πρὸς τὸ τοῦ ἀντικειμένου πρόσωπον βλέπουσιν. καὶ εἰ αὐτὸς ὁ θεῖος χαρακτὴρ τῷ κατ' ἀρετὴν ἐντυποῦται βίῳ, δῆλον ὅτι ἡ κατὰ κακίαν ζωὴ μορφὴ καὶ πρόσωπον τοῦ ἀντικειμένου γίνεται. ἀλλὰ μὴν εἰ κατὰ διαφόρους ἐπινοίας ὁ θεὸς ἑκάστῳ τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων ἐπονομάζεται, φῶς καὶ ζωὴ καὶ ἀφθαρσία καὶ ὅσα τοῦ τοιούτου γένους ἐστίν, πάντως ἐκ τοῦ ἀντιστρόφου τὸ ἑκάστῳ τούτων ἀντικείμενον ὁ τῆς κακίας εὑρετὴς ὀνομασθήσεται, σκότος καὶ θάνατος καὶ φθορὰ καὶ ὅσα τούτοις ὁμογενῆ καὶ ὁμόφυλα. οὐκοῦν μαθόντες διὰ τίνων ἥ τε κακία καὶ ὁ κατ' ἀρετὴν μορφοῦται βίος, ἐξουσίας ἡμῖν πρὸς ἑκάτερον τούτων κατὰ τὸ αὐτεξούσιον τῆς προαιρέσεως προκειμένης, φύγωμεν τὴν τοῦ διαβόλου μορφήν, ἀποθώμεθα τὸ πονηρὸν προσωπεῖον, ἀναλάβωμεν τὴν θείαν εἰκόνα, γενώμεθα καθαροὶ
1277 M. τῇ καρδίᾳ, ἵνα γενώμεθα μακάριοι, τῆς θείας εἰκόνος ἐν ἡμῖν μορφωθείσης διὰ τῆς καθαρᾶς πολιτείας, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Ζ'

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.

Τῆς ἱερᾶς τοῦ μαρτυρίου σκηνοπηγίας, ἣν κατὰ τὸν ἐν τῷ ὄρει παρὰ τοῦ θεοῦ δειχθέντα τύπον ὁ νομοθέτης τοῖς

25 sqq cf Ex 25, 40; 26, 1 sqq

2 τὸ om v 8 εἰ om ΦΖ 10 τοῦ om VM 11 οὖν τοῦ post πάντως add V οὖν τὸ add M τὸ om VM 12 ἑκάστου Ψv τῷ—εὑρέτη (sic) v 17 πονηρὸν om VM 21 τῶν αἰώνων om ΦΖ 22 ἐτελεώθη post ἀμήν add Z 23 λόγος ζ' E: εἰς τοὺς μακαρισμοὺς ὁμιλία ζ' W ὁμιλία ζ' post κληθήσονται 24 coll S om VMΨ(sed λόγος λγ' in marg scr K)A (ζ' in marg scr A) ἑξῆς λόγος ζ' Z 25 σκηνοποιίας W

Ἰσραηλίταις κατεσκευάσατο, πάντα μὲν ἅγιά τε καὶ ἱερὰ τὰ καθ' ἕκαστον ἦν ὅσα τῷ περισχοινίσματι κατὰ τὸ ἐντὸς περιείληπτο· τὸ δὲ ἐνδότατον ἐν τούτοις ἄδυτόν τε καὶ ἄβατον ἦν, ἅγιον ἁγίων λεγόμενον, δεικνύσης, οἶμαι, τῆς ἐπιτατικῆς ταύτης ὀνοματοποιΐας τὸ μὴ κατὰ τὸ ὁμότιμον τοῖς ἄλλοις μετέχειν κἀκεῖνο τῆς ἁγιότητος ἀλλ' ὅσον διέφερεν τοῦ κοινοῦ καὶ βεβήλου τὸ ἀφιερωμένον καὶ ἅγιον, τοσοῦτον ἐκεῖνο τὸ ἄδυτον τῶν περὶ αὐτὸ ἁγίων ἱερώτερόν τε καὶ καθαρώτερον εἶναι. οἶμαι τοίνυν ἐγὼ κατὰ τὸν αὐτὸν τρόπον τῶν ἐν τῷ ὄρει τούτῳ προδειχθέντων ἡμῖν μακαρισμῶν πάντα μὲν ἱερά τε καὶ ἅγια τὰ καθ' ἕκαστον εἶναι ὅσα προλαβὼν ὁ θεῖος κατεσκεύασε λόγος, τὸ δὲ νῦν τῇ θεωρίᾳ προκείμενον ἄδυτον ὡς ἀληθῶς καὶ ἅγιον ἁγίων εἶναι. εἰ γὰρ τὸ ἰδεῖν τὸν θεὸν ὑπερβολὴν ἐν τῷ ἀγαθῷ οὐκ εἶχεν, τὸ υἱὸν γενέσθαι θεοῦ ὑπὲρ πᾶσαν εὐκληρίαν πάντως ἐστίν. ποία γὰρ ῥημάτων ἐπίνοια, τίς ἐξ ὀνομάτων σημασία τῆς τηλικαύτης ἐπαγγελίας τὴν δωρεὰν περιλήψεται; ὅπερ ἂν τις ὑπερταθεὶς τῇ διανοίᾳ νοήσῃ, ὑπὲρ ἐκεῖνο πάντως ἐστὶ τὸ δηλούμενον· ἐὰν ἀγαθὸν ἢ τίμιον ἢ ὑψηλὸν ὀνομάσῃς τὸ κατὰ τὸν μακαρισμὸν τοῦτον δι' ἐπαγγελίας προκείμενον, πλέον ἢ κατὰ τὴν ἔμφασιν τῶν ὀνομάτων ἐστὶ τὸ δηλούμενον· ὑπὲρ εὐχὴν ἡ ἐπιτυχία, ὑπὲρ ἐλπίδα τὸ δῶρον, ὑπὲρ τὴν φύσιν ἡ χάρις. τί ἐστιν ἄνθρωπος ὡς πρὸς τὴν θείαν φύσιν κρινόμενος; τίνος εἴπω τῶν ἁγίων φωνὴν δι' ἧς ἐξευτελίζεται τὸ ἀνθρώπινον; κατὰ τὸν Ἀβραὰμ γῆ καὶ σποδός, κατὰ τὸν Ἡσαΐαν χόρτος, κατὰ τὸν Δαβὶδ οὐδὲ χόρτος ἀλλ' ἐοικὸς χόρτῳ—ὁ μὲν γὰρ λέγει, Πᾶσα σὰρξ χόρτος· οὗτος δέ φησιν, Ἄνθρωπος ὡσεὶ χόρτος—κατὰ τὸν Ἐκκλησιαστὴν

25 Gen 18, 27 25-26 Is 40, 6 26-27 Ps 36, 2 28 Ecclesiastes 1, 2

2 τὰ om Ψv ἐπισχοινίσματι VM 4 ἄβατον: ἀνεπίβατον VM 6 μετασχεῖν VM 8 ἐκείνων VM τὸ ante τῶν add VM 11 τὰ om Ψv 12 διεσκεύασε Φ (e διεκελεύσασε ut vid corr V) 13 ἁγίων ἅγιον Φ 15 ἔχει Ψv τοῦ θεοῦ γενέσθαι VM πᾶσαν ΨZ: om Φ 17 ἐπαγγελίας: σημασίας VM 18 ὑπερταθεὶς: ἐπιταθεὶς VM om v 21 τὸ om Ψ 26 δὲ post κατὰ add VM 28 δὲ post κατὰ add VM

ματαιότης, κατὰ τὸν Παῦλον ταλαιπωρία· οἷς γὰρ ἑαυτὸν ὁ ἀπόστολος κατωνόμασεν τούτοις ἅπαν κατοικτίζεται τὸ ἀνθρώπινον. ταῦτα ὁ ἄνθρωπος· ὁ δὲ θεὸς τί; πῶς εἴπω τὸ τί ὃ μήτε ἰδεῖν δυνατὸν μήτε ἀκοῇ χωρῆσαι μήτε καρδίᾳ λαβεῖν; ποίαις φωναῖς ἐξαγγείλω τὴν φύσιν; τί εὕρω τοῦ ἀγαθοῦ τούτου ἐν τοῖς γινωσκομένοις ὑπόδειγμα; ποίας καινοτομήσω φωνὰς πρὸς τὴν τοῦ ἀφράστου τε καὶ ἀνεκφωνήτου σημασίαν; ἤκουσα τῆς θεοπνεύστου γραφῆς μεγάλα περὶ τῆς ὑπερκειμένης φύσεως διεξιούσης· ἀλλὰ τί ταῦτα πρὸς αὐτὴν τὴν φύσιν; ὅσον γὰρ ἐχώρουν ἐγὼ δέξασθαι τοσοῦτον εἶπεν ὁ λόγος, οὐχ ὅσον ἐστὶ τὸ δηλούμενον.
1280 M. ὡς γὰρ οἱ ἀναπνέοντες τὸν ἀέρα πρὸς τὴν ἐν ἑαυτῷ ἕκαστος εὐρυχωρίαν, ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον τοῦ ἀέρος ἀνέλαβεν— οὐ μὴν ὁ πολὺν ἐν ἑαυτῷ κατασχὼν τὸν ἀέρα ἅπαν τὸ στοιχεῖον ἐντὸς ἑαυτοῦ πεποίηται ἀλλὰ καὶ οὗτος ἔλαβεν ἐκ τοῦ ὅλου ὅσον ἠδύνατο καὶ τὸ ὅλον ἔστιν—οὕτως καὶ αἱ τῆς ἁγίας γραφῆς θεολογίαι αἱ παρὰ τῶν τῷ ἁγίῳ πνεύματι θεοφορουμένων ἡμῖν ἐκτεθεῖσαι πρὸς μὲν τὸ ἡμέτερον τῆς διανοίας μέτρον ὑψηλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ πᾶν εἰσι μέγεθος, τοῦ δὲ ἀληθινοῦ μεγέθους οὐ προσαπτόμεναι. Τίς ἐμέτρησε, φησί, τὸν οὐρανὸν σπιθαμῇ καὶ τῇ χειρὶ τὸ ὕδωρ καὶ πᾶσαν τὴν γῆν δρακί; ὁρᾷς τὴν μεγαλοφυΐαν τοῦ τὴν ἄφραστον διαγράφοντος δύναμιν; ἀλλὰ τί ταῦτα πρὸς τὸ ὄντως ὄν; μέρος γάρ τι τῆς θείας ἐνεργείας ἐν ταῖς τοιαύταις μεγαληγορίαις ὁ προφητικὸς ἐνεδείξατο λόγος· αὐτὴν δὲ τὴν δύναμιν ἀφ' ἧς ἡ ἐνέργεια, ἵνα μὴ εἴπω τὴν φύσιν ἀφ' ἧς ἡ δύναμις, οὔτε εἶπεν οὔτε ἐμέλλησεν. ἀλλὰ καὶ καθάπτεται τῷ λόγῳ τῶν στοχασμοῖς τισι τὸ θεῖον ἀπεικαζόντων, ὡς

1 Rom 7, 24 21 Is 40, 12

2 ἀπόστολος: παῦλος VM 4 τί ὃ om VM 10 ἐγὼ ἐχώρουν Ψv 12 πρὸς: κατὰ v ἐν ἑαυτῷ: ἑαυτοῦ Φ 13 πλεῖον ΦΨv ἔλαβεν VM 16 αἱ: διὰ V αἱ διὰ MW 20 δὲ: τε v 21-22 τῇ χειρὶ τὸ ὕδωρ καὶ ante τὸν coll ΦZ (cf test) 24 τι: τοι v 24-25 ἐν ταῖς τοιαύταις μεγαληγορίαις om VMZ 27 ἐμελέτησεν VM 28 τῶν τῶ λόγω VM τῶν : τὸν O τῶν e corr R² ἀπεικονιζόντων Ψv

ἐκ προσώπου τοῦ θεοῦ τὸ τοιοῦτον διεξιών· Τίνι με ὡμοιώσατε; λέγει κύριος. τὴν ἴσην δὲ συμβουλὴν καὶ ὁ Ἐκκλησιαστὴς τοῖς ἰδίοις ἐγκατατίθεται λόγοις, Μὴ σπεύσῃς ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου τοῦ θεοῦ, ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ σὺ ἐπὶ τῆς γῆς κάτω, δεικνύς, οἶμαι, διὰ τῆς τῶν στοιχείων πρὸς ἄλληλα διαστάσεως ὅσῳ τῷ μέτρῳ ἡ θεία φύσις τῶν λογισμῶν τῶν γηΐνων ὑπερανέστηκεν. τούτῳ μέντοι τῷ τοιούτῳ καὶ τοσούτῳ πράγματι, ὃ οὔτε ἰδεῖν ἔστιν οὔτε ἀκοῦσαι οὔτε λογίσασθαι, ὁ ἀντ' οὐδενὸς ἐν τοῖς οὖσι λελογισμένος ἄνθρωπος, ἡ σποδός, ὁ χόρτος, ἡ ματαιότης, οἰκειοῦται, εἰς υἱοῦ τάξιν παρὰ τοῦ θεοῦ τῶν ὅλων προσλαμβανόμενος. τί τῆς χάριτος ταύτης ἔστιν εὑρεῖν εἰς εὐχαριστίαν ἐπάξιον; ποίαν φωνήν, ποίαν διάνοιαν, ποίαν ἐνθυμήσεως κίνησιν δι' ἧς τὴν τῆς χάριτος ὑπερβολὴν ἀνυμνήσει; ἐκβαίνει τὴν ἑαυτοῦ φύσιν ὁ ἄνθρωπος, ἀθάνατος ἐκ θνητοῦ καὶ ἐξ ἐπικήρου ἀκήρατος καὶ ἐξ ἐφημέρου ἀΐδιος καὶ τὸ ὅλον θεὸς ἐξ ἀνθρώπου γινόμενος. ὁ γὰρ θεοῦ υἱὸς γενέσθαι ἀξιωθεὶς ἕξει πάντως ἐν ἑαυτῷ τοῦ πατρὸς τὸ ἀξίωμα, καὶ πάντων γίνεται τῶν πατρικῶν ἀγαθῶν κληρονόμος. ὢ τῆς μεγαλοδωρεᾶς τοῦ πλουσίου δεσπότου· ὢ τῆς πλατείας παλάμης· ὢ τῆς μεγάλης χειρός· ἡλίκα τῶν ἀπορρήτων θησαυρῶν τὰ χαρίσματα. εἰς τὸ ὁμότιμον ἑαυτῷ σχεδὸν τὴν ἐξ ἁμαρτίας ἀτιμωθεῖσαν φύσιν ὑπὸ φιλανθρωπίας ἄγει. εἰ γὰρ ὅπερ αὐτός ἐστι κατὰ τὴν φύσιν, τούτου τὴν οἰκειότητα τοῖς ἀνθρώποις χαρίζεται, τί ἄλλο ἢ οὐχὶ ὁμοτιμίαν τινὰ διὰ τῆς συγγενείας κατεπαγγέλλεται;

1281 M. Τὸ μὲν οὖν ἔπαθλον τηλικοῦτον· ὁ δὲ ἆθλος τίς; ἐὰν εἰρηνοποιήσῃς, φησί, τῇ τῆς υἱοθεσίας χάριτι στεφανωθήσῃ. ἐμοὶ δοκεῖ καὶ τὸ ἔργον αὐτὸ ἐφ' ᾧ τὸν τοσοῦτον μισθὸν

1 Is 40, 25 (cf 18); 46, 5 3 Ecclesiastes 5, 1

1-2 ὁμοιώσατε Wv 3 κατατίθεται Φ 4 ῥήματα VM 7 τῶν alt om v 9 καθὼς ἔφην post ἔστιν add VM καθὼς προέφην add WZ (cf 150, 4-5) 14 ἧς: ἣν Ψv 18 ἀξιωθεὶς γενέσθαι Φ 19 ἀξίωμα: ὁμοίωμα VM 22 αὐτῷ VM 28 εἰρηνοποιήσῃ v ὑποθεσίας v 29 αὐτὸ: αὐτοῦ W om v ᾧ: ὃ Ψ

ἐπαγγέλλεται ἕτερον δῶρον εἶναι. τί γὰρ εἰς ἀπόλαυσιν τῶν κατὰ τὸν βίον σπουδαζομένων τῆς εἰρήνης ἐστὶ τοῖς ἀνθρώποις γλυκύτερον; ὅτιπερ ἂν εἴπῃς τῶν ἡδέων τῶν κατὰ τὴν ζωὴν εἰρήνης χρῄζει πρὸς τὸ εἶναι ἡδύ. εἰ γὰρ πάντα μὲν εἴη ὅσα κατὰ τὸν βίον τετίμηται, πλοῦτος, εὐεξία, γαμετή, παῖδες, οἰκία, γονεῖς, ὑπηρέται, φίλοι, γῆ, θάλασσα, τοῖς οἰκείοις ἑκατέρα πλουτίζουσα, παράδεισοι, θῆραι, λουτρά, παλαῖστραι, γυμνάσια, τρυφητήριά τε καὶ ἡβητήρια, καὶ πάντα ὅσα ἐστὶ τῆς ἡδονῆς ἐφευρέματα—προσκείσθω τούτοις τὰ ἡδέα θεάματα καὶ τὰ μουσικὰ ἀκροάματα καὶ εἴ τι ἄλλο δι᾽ οὗ τοῖς τρυφῶσιν ὁ βίος ἡδύνεται—εἰ ταῦτα μὲν εἴη πάντα, τὸ δὲ τῆς εἰρήνης ἀγαθὸν μὴ παρείη, τί κέρδος ἐκείνων, πολέμου τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν ἐπικόπτοντος; οὐκοῦν ἡ εἰρήνη αὐτή τε ἡδεῖά ἐστι τοῖς μετέχουσι καὶ πάντα καταγλυκαίνει τὰ ἐν τῷ βίῳ τιμώμενα. ἀλλὰ κἄν τινα συμφορὰν κατὰ τὸ ἀνθρώπινον ἐν εἰρήνῃ πάθωμεν, ἀγαθῷ τὸ κακὸν συγκεκραμένον ῥᾷον τοῖς πεπονθόσι γίνεται. πολέμου δὲ τὴν ζωὴν συνέχοντος, ἀναισθητοῦμεν τρόπον τινὰ πρὸς τὰς τοιαύτας τῶν λυπηρῶν ἀφορμάς· ὑπερβάλλει γὰρ ταῖς ἀλγηδόσι τὰ καθ᾽ ἕκαστον ἡ κοινὴ συμφορά. καὶ ὥσπερ οἱ ἰατροὶ περὶ τῶν σωματικῶν λέγουσι παθημάτων, εἰ δύο κατὰ ταὐτὸν ἐν ἑνὶ σώματι πόνοι συμπέσοιεν, τοῦ ὑπερβάλλοντος μόνου τὴν αἴσθησιν γίνεσθαι, λανθάνειν δέ πως τοῦ ἐλάττονος κακοῦ τὴν ἀλγηδόνα, τῇ ὑπερβολῇ τοῦ ἐπικρατοῦντος ἐκκλεπτομένην, οὕτω τὰ τοῦ πολέμου κακὰ τοῖς ἀλγεινοῖς ὑπερβάλλοντα πρὸς τὰς ἰδίας συμφορὰς ἀναισθήτως ἔχειν τοὺς καθ᾽ ἕκαστον παρασκευάζει. εἰ δὲ πρὸς τὴν τῶν κακῶν τῶν ἰδίων αἴσθησιν ἀπουαρκᾷ πως ἡ ψυχή, τοῖς κοινοῖς τοῦ

2 εἰρηνικῆς Ψv 3 ζωῆς post γλυκύτερον add Ψv τῶν κατὰ τὴν ζωὴν ἡδέων Φ (τῶν om M) τῶν ante κατὰ om v 4 πρὸς om Ψv μὲν om v 6 γονεῖς: γένος ΦZ 8 καὶ alt om Φ (cf 153, 8) 9 ἐφευρήματα v προκείσθω W 12 παρῇ Ψv 13 τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν Φ ἐπισκώπτοντος V(ω ex o corr V)M 14 αὔτη WΨv 17 πεπονθῶσι WM (-ώ- M) 21 κατ᾽ αὐτὸν VMKv 22 ἐν om Φ 23 λανθάνει VM 24 ἐπιβολῇ v 28 πῶς WM

πολέμου κακοῖς ἐκπεπληγμένη, πῶς τῶν ἡδέων αἴσθησιν ἕξει; ὅπλα καὶ ἵπποι καὶ τεθηγμένος σίδηρος καὶ σάλπιγξ ἠχοῦσα καὶ φάλαγγες τοῖς δόρασι φρίσσουσαι καὶ ἀσπίδες συνερειδόμεναι καὶ κράνη τοῖς λόφοις φοβερῶς ἐπινεύοντα, συμπτώσεις, ὠθισμοί, συμπλοκαί, μάχαι, ἀνδροκτασίαι, φυγαί, διώξεις, οἰμωγαί, ἀλαλαγμοί, γῆ τοῖς αἵμασιν ὑγραινομένη, νεκροὶ πατούμενοι, τραυματίαι καταλειπόμενοι, καὶ πάντα ὅσα τοῖς πικροῖς ἐστι τοῦ πολέμου συμπτώμασιν— ἆρα ὁ ἐν τούτοις ὢν σχολάσει ποτὲ πρὸς τὴν τοῦ εὐφραίνοντος μνήμην τὸν λογισμὸν ἐπικλῖναι; εἰ δέ που καὶ ὑποδράμοι τὴν ψυχὴν μνήμη τῶν ἡδίστων τινός, οὐχὶ προσθήκη γίνεται συμφορᾶς ἐν τῷ τῶν κινδύνων καιρῷ ἡ τῶν φιλτάτων ὑπόμνησις τὸν λογισμὸν ὑπελθοῦσα; οὐκοῦν ὁ μισθόν σοι διδούς, εἰ τῶν κατὰ πόλεμον κακῶν χωρισθείης, δύο σοι κεχάρισται δωρεάς. ἓν μὲν γάρ ἐστι δῶρον τὸ ἔπαθλον, ἕτερον δὲ δῶρον αὐτὸς ὁ ἆθλος, ὥστε καὶ εἰ μηδὲν τῷ τοιούτῳ κατ' ἐλπίδα προέκειτο, αὐτὴ δι' ἑαυτὴν ἡ εἰρήνη πάσης ἂν ἦν τοῖς γε νοῦν ἔχουσι προτιμοτέρα σπουδῆς. ἐν τούτῳ τοίνυν ἔστι τὴν τῆς φιλανθρωπίας ὑπερβολὴν ἐπιγνῶναι, ὅτι τὰς ἀγαθὰς ἀντιδόσεις οὐ πόνοις τισὶ καὶ ἱδρῶσιν ἀλλ' εὐπαθείαις τρόπον τινὰ καὶ θυμηδίαις κεχάρισται,
1284 M. εἴπερ τὸ κεφάλαιον τῶν εὐφραινόντων ἡ εἰρήνη ἐστίν, ἣν τοσαύτην ἑκάστῳ παρεῖναι βούλεται ὡς μὴ μόνον αὐτὸν ἕκαστον ἔχειν ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος καὶ τοῖς μὴ ἔχουσι νέμειν. Μακάριοι γάρ, φησίν, οἱ εἰρηνοποιοί.

Εἰρηνοποιὸς δέ ἐστιν ὁ εἰρήνην διδοὺς ἄλλῳ· οὐκ ἂν δέ τις ἑτέρῳ παράσχοι ὃ μὴ αὐτὸς ἔχει. βούλεται τοίνυν πρότερον

1 ἐμπεπληγμένη VK ἐμπεπλεγμένη C ἡδέων: μὴ ἰδίων VM 2 ποῦ ante ὅπλα add v 6 ὀλολυγμοί VM 7 ὑφυγραινομένη VM καταλιπόμενοι Ψ 8 ἐν ante τοῖς add v θεάματά τε καὶ διηγήματα post συμπτώμασιν add ΦZ (cf 152, 8-10) 9 σχολάσει: σχέσει v 10 ὑποκλίναι (sic) v ὑποδράμοιτο VM 16-17 κατ' ἐλπίδα τῷ τοιούτῳ Φ πρόσκειτο v 18 προτιμωτέρα VW 20 τισὶ om ΨZv (cf 147, 24) 26 ὁ—ἄλλῳ: ὁ τὴν εἰρήνην ἐν ἄλλοις κατεργαζόμενος C 27 παράσχοι: δῶ VM παράσχοιτο v ἔχῃ VMΨ (η fort e corr K) ἔχοι C

εἶναι σὲ πλήρη τῶν τῆς εἰρήνης καλῶν, εἶθ' οὕτως ὀρέγειν τοῖς ἐνδεῶς ἔχουσι τοῦ τοιούτου κτήματος. καὶ μή μοι λίαν τὴν διὰ βάθους θεωρίαν περιεργαζέσθω ὁ λόγος· αὔταρκες γὰρ ἡμῖν εἰς ἀγαθοῦ κτῆσιν καὶ τὸ πρόχειρον νόημα. Μακάριοι οἱ εἰρηνοποιοί. πολλῶν ἀρρωστημάτων θεραπείαν ὁ λόγος ἐν ὀλίγῳ χαρίζεται διὰ τῆς περιληπτικῆς ταύτης καὶ γενικωτέρας φωνῆς ἐκπεριλαβὼν τὰ καθ' ἕκαστον. τί ἐστιν ἡ εἰρήνη πρῶτον νοήσωμεν. τί ἄλλο ἢ ἀγαπητική τις πρὸς τὸ ὁμόφυλον συνδιάθεσις; τί οὖν ἐστι τὸ ἐξ ἐναντίου τῇ ἀγάπῃ νοούμενον; μῖσος, ὀργή, θυμός, φθόνος, μνησικακία, ὑπόκρισις, ἡ κατὰ πόλεμον συμφορά. ὁρᾷς ὅσων καὶ οἵων ἀρρωστημάτων ἀντιφάρμακόν ἐστιν ἡ μία φωνή; ἡ γὰρ εἰρήνη κατὰ τὸ ἴσον ἑκάστῳ τῶν εἰρημένων ἀντικαθίσταται, καὶ ἀφανισμὸν ποιεῖ τοῦ κακοῦ τῇ ἑαυτῆς παρουσίᾳ. ὡς γὰρ ὑγιείας ἐπιλαβούσης ἡ νόσος ἐξαφανίζεται, καὶ φωτὸς φανέντος οὐχ ὑπολείπεται σκότος, οὕτως καὶ τῆς εἰρήνης ἐπιφανείσης λύεται πάντα τὰ ἐκ τοῦ ἐναντίου συνιστάμενα πάθη. τοῦτο δὲ ὅσον ἐστὶν ἀγαθὸν οὐδὲν οἶμαι χρῆναι διεξιέναι τῷ λόγῳ. αὐτὸς σὺ κατὰ σεαυτὸν ἐπιλόγισαι οἷος ὁ βίος τῶν ἀλλήλους δι' ὑποψίας καὶ μίσους ἐχόντων, ὧν δυσάντητοι μὲν αἱ συντυχίαι, βδελυκτὰ δὲ αὐτοῖς τὰ ἀλλήλων πάντα, ἄφθογγα δὲ τὰ στόματα καὶ ἀπεστραμμένα τὰ βλέμματα καὶ ἀκοὴ πεφραγμένη τῇ τοῦ μισοῦντός τε καὶ μισουμένου φωνῇ. πᾶν δὲ φίλον ἑκατέρῳ αὐτῶν ὃ μὴ τῷ ἑτέρῳ φίλον, καὶ ἐκ τοῦ ἐναντίου πᾶν ἐχθρὸν καὶ πολέμιον ὃ τῷ δυσμενεῖ καταθύμιον. ὥσπερ τοίνυν τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοίας τὸν παρακείμενον ἀέρα πλήρη

1 πλήρη: πληρωτὴν ΦΖ καλῶν: ἀγαθῶν VM 2 μοι μὴ Φ μοι om v 6 περιλήψεως Ψv 7 ἐμπεριλαβὼν VM(ἐν- M) R^2 9 τὸ om v 10 φθόνος θυμός ΦΖ 11 καὶ ἄλλα τοιαῦτα πολλά post συμφορά add C οἵων καὶ ὅσων VM 13 ἑκάστω post εἰρημένων coll VM 19 σαυτὸν VM ὑπολόγισαι VM ἐπιλελόγισαι v 20 ἀλλήλους om VM ὧν: ὡς VM 21 αὐτοῖς post μὲν add VM 23 ἀκοαὶ πεφραγμέναι VM τε om Ψv 24-25 τῷ ἑτέρῳ μὴ v τῷ ἑτέρῳ: θατέρω VM 25 ἦν post φίλον add V ᾗ add M ἅπαν Φ

ποιεῖ, οὕτω σοι βούλεται κατὰ περιουσίαν πλεονάζειν τῆς εἰρήνης τὴν χάριν ὥστε τὸν σὸν βίον θεραπείαν εἶναι τῆς ἀλλοτρίας νόσου. ὅσον δὲ τὸ τοιοῦτόν ἐστιν ἀγαθὸν ἀκριβέστερον ἂν ἐπιγνοίης, ἑκάστου τῶν ἐκ τῆς δυσμενοῦς προαιρέσεως ἐγγινομένων τῇ ψυχῇ παθημάτων τὰς συμφορὰς λογιζόμενος. τίς ἂν διεξέλθοι πρὸς ἀξίαν τῆς ὀργῆς τὰ πάθη; τίς ὑπογράψει λόγος τὴν ἀσχημοσύνην τῆς τοιαύτης νόσου; ὁρᾷς τὰ τῶν δαιμονώντων πάθη τοῖς ὑπὸ θυμοῦ κεκρατημένοις ἐπιφαινόμενα; λόγισαι παράλληλα τοῦ τε δαίμονος καὶ τοῦ θυμοῦ τὰ συμπτώματα, καὶ τίς ἐν τούτοις ἡ διαφορά. ὕφαιμος καὶ διάστροφος τῶν δαιμονώντων ὁ ὀφθαλμός, παράφορος ἡ γλῶσσα, τραχὺ τὸ φθέγμα, ὀξεῖα καὶ ὑλακώδης ἡ φωνή. κοινὰ ταῦτα καὶ τοῦ θυμοῦ καὶ τοῦ δαίμονος, κλόνος κεφαλῆς, χειρῶν ἔμπληκτοι κινήσεις, βρασμὸς ὅλου τοῦ σώματος,
1285 M. ἄστατοι πόδες· μία τῶν δύο νοσημάτων ἡ διὰ τῶν τοιούτων ὑπογραφή. τοσοῦτον μόνον παρήλλακται τοῦ ἑτέρου τὸ ἕτερον ὅσον τὸ μὲν ἑκούσιον εἶναι κακόν, τὸ δὲ ἀβουλήτως προσπίπτειν οἷς ἂν ἐγγένηται. τὸ δὲ κατ' ἰδίαν ὁρμὴν ἐν συμφορᾷ γενέσθαι τοῦ παρὰ γνώμην τι παθεῖν ὅσον ἐλεεινότερον. καὶ τὴν μὲν ἐκ δαίμονος νόσον ὁ ἰδὼν πάντως ἠλέησεν· τὴν δὲ ἐκ θυμοῦ παραφορὰν ὁμοῦ τε εἶδε καὶ ἐμιμήσατο, ζημίαν κρίνων τὸ μὴ ὑπερβαλέσθαι τῷ καθ' ἑαυτὸν πάθει τὸν προνοσήσαντα. καὶ ὁ μὲν δαίμων στρεβλῶν τοῦ ἐμπαθοῦς τὸ σῶμα μέχρις ἐκείνου τὸ κακὸν ἵστησιν, κατὰ τοῦ ἀέρος εἰκῇ διαρρίπτων τοῦ μεμηνότος τὰς χεῖρας· ὁ δὲ τοῦ θυμοῦ δαίμων οὐκ ἀργὰς ποιεῖ τὰς κινήσεις τοῦ σώματος. ἐπειδὰν γὰρ ἐπικρατήσῃ τὸ πάθος καὶ ὑπερζέσῃ τὸ περικάρδιον αἷμα, τῆς μελαίνης χολῆς, ὥς φασιν, ἐκ τῆς θυμώδους διαθέσεως ἁπανταχῇ κατασπαρείσης τῷ σώματι, τότε ὑπὸ τῶν ἔνδοθεν συνθλιβομένων ἀτμῶν στενοχωρεῖται πάντα τὰ περὶ τὴν κεφαλὴν αἰσθητήρια· ὀφθαλμοὶ μὲν ὑπὲρ τὴν τῶν

9 τὰ παράλληλα VM   τε om VM   11 ὁ om Ψv   12 ὑλακτώδης VM   13 τοῦ pr om VM   18 προσπίπτον (sic) VM   ἐγγίνηται Ψ ἐγγίνεται v   19 τι om Ψv   22 ἐκκρίνων v   ὑπερβάλλεσθαι ORv   25 διαρριπτῶν VM (-αρι- M)   31 ὑπὲρ: ὑπὸ v

βλεφάρων περιγραφὴν ἐξωθοῦνται, ὕφαιμόν τι καὶ δρακοντῶδες πρὸς τὸ λυποῦν ἀτενίζοντες· ἄσθματι δὲ τὰ σπλάγχνα συνέχεται· διοιδοῦσι δὲ κατὰ τοῦ αὐχένος αἱ φλέβες· καὶ ἡ γλῶσσα παχύνεται· καὶ ἡ φωνὴ στενουμένης τῆς ἀρτηρίας ἀκουσίως ὀξύνεται· καὶ τὰ χείλη τῇ ὑποσπορᾷ τῆς ψυχρᾶς ἐκείνης χολῆς πήγνυταί τε καὶ περιμελαίνεται καὶ δυσκίνητα γίνεται πρὸς τὴν κατὰ φύσιν διαστολὴν καὶ ἐπίμυσιν, ὡς μηδὲ τὸν πτύελον ἐν τῷ στόματι πλεονάζοντα περικρατεῖν δύνασθαι ἀλλὰ συνεκβάλλειν τοῖς ῥήμασι, τοῦ βεβιασμένου φθόγγου τὸν ἀφρὸν παραπτύοντος. τότε τοίνυν καὶ τὰς χεῖρας ἔστιν ἰδεῖν ἀνακινουμένας ὑπὸ τῆς νόσου καὶ τοὺς πόδας ὡσαύτως· κινεῖται δὲ τὰ μέλη ταῦτα οὐκέτι μάτην, καθάπερ ἐπὶ τῶν δαιμονώντων γίνεται, ἀλλ᾽ ἐπὶ κακῷ τῶν ἀλλήλοις διὰ τῆς νόσου συμπλεκομένων. εὐθὺς γὰρ πρὸς τὰ καίρια τῶν αἰσθητηρίων αἱ ὁρμαὶ τῶν ἀλλήλους πληττόντων γίνονται. εἰ δέ που προσεγγίσειεν ἐν τῇ συμπλοκῇ τὸ στόμα τῷ σώματι, οὐδὲ οἱ ὀδόντες ἄπρακτοι μένουσιν ἀλλ᾽ ἐμφύονται θηρίου δίκην οἷς ἂν ἐμπελάσωσιν. καὶ τίς ἂν τὰ καθ᾽ ἕκαστον εἴποι κακὰ ὅσα ἐκ τοῦ θυμοῦ τὴν γένεσιν ἔχει; ὁ τοίνυν κωλύων τὴν τοιαύτην ἀσχημοσύνην εἰκότως ἂν μακαριστός τε καὶ τίμιος ἐκ τῆς μεγίστης εὐεργεσίας ὀνομάζοιτο. εἰ γὰρ ὁ σωματικῆς τινος ἀηδίας χωρίσας τὸν ἄνθρωπον τίμιος διὰ τῆς τοιαύτης εὐποιΐας ἐστίν, πόσῳ μᾶλλον ὁ τὴν ψυχὴν τῆς νόσου ταύτης ἐλευθερώσας ὡς εὐεργέτης τοῦ βίου παρὰ τοῖς νοῦν ἔχουσι νομισθήσεται; ὅσῳ γὰρ κρείττων ἡ ψυχὴ τοῦ σώματος τοσούτῳ τιμιώτερος τῶν τὰ σώματα θεραπευόντων ὁ τὰς ψυχὰς ἐξιώμενος.

Καὶ μηδεὶς οἰέσθω τῶν ἐκ τοῦ μίσους ἐνεργουμένων κακῶν

21-27 cf Plat Crit 47D-48A; Resp 445A-B; Gorg 479B-C; 512A al

1 ἐπιγραφὴν VM 3 διοίσουσι v 5 ἑκουσίως Ψv 6 τε om Ψv 7 ἐπιμύουσιν VM 8 μήτε VM 9 συνεκβαλεῖν v 13 κακοῦ VM 16 προσεγγίσειεν ἐν: προσεγγίσειε VM προσεγγίσειεν Ψ προσεγγίσει ἐν v 17 στόματι Z 24 νόσου ταύτης: τοιαύτης νόσου VM 25 ὅσον v 28 μίσους: πάθους VMZ

τὴν κατὰ τὸν θυμὸν ἀηδίαν οἴεσθαί με χαλεπωτάτην εἶναι. δοκεῖ γάρ μοι τὸ κατὰ τὸν φθόνον καὶ τὴν ὑπόκρισιν πάθος 1288 M. πολλῷ χαλεπώτερον τοῦ μνημονευθέντος εἶναι, ὅσῳ καὶ δεινότερον τοῦ προδήλου τὸ κεκρυμμένον κακόν. καὶ γὰρ τῶν κυνῶν τούτους πλέον διευλαβούμεθα ὧν οὔτε ὑλακὴ τὸν θυμὸν προμηνύει οὔτε ἡ κατὰ πρόσωπον ἔφοδος ἀλλ' ἐν πράῳ τε καὶ ἡμέρῳ τῷ σχήματι τὸ ἀπροόρατόν τε καὶ ἀπερίσκεπτον ἡμῶν ἐπιφυλάσσουσιν· τοιοῦτόν ἐστι τὸ κατὰ τὸν φθόνον τε καὶ τὴν ὑπόκρισιν πάθος οἷς ἔνδοθεν μὲν ἐν τῷ βάθει τῆς καρδίας τὸ μῖσος οἷόν τι πῦρ κατὰ τὸ λεληθὸς ὑποτύφεται, τὸ δὲ φαινόμενον τῇ ὑποκρίσει κατασχηματίζεται πρὸς τὸ φίλον. ὥσπερ δὲ εἰ πῦρ ἀχύροις ὑποκρυφθείη, τέως μὲν ἔνδοθεν διασμύχει τῇ καύσει τὰ παρακείμενα, φλὸξ δὲ κατὰ τὸ φανερὸν οὐκ ἐκδίδοται ἀλλὰ δριμύς τις καπνὸς βιαίως ἔνδοθεν συνθλιβόμενος διεξέρχεται, εἰ δέ τινος τύχοι διαπνοῆς, τότε εἰς λαμπράν τε καὶ ἔκδηλον ἀναρριπίζεται φλόγα, οὕτω καὶ ὁ φθόνος διεσθίει μὲν ἔνδοθεν τὴν καρδίαν πυρὸς δίκην οἷον ἀχύρων τινὰ πεπιλημένον θημῶνα καὶ κρύπτει μὲν ὑπ' αἰσχύνης τὴν νόσον, οὐ μὴν δυνατός ἐστιν εἰς τὸ παντελὲς ἐπικρύψασθαι ἀλλ' οἷόν τις καπνὸς δριμὺς ἡ τοῦ φθόνου πικρία τοῖς περὶ τὸ σχῆμα συμπτώμασιν ἐνδιαφαίνεται, εἰ δέ τις συμφορὰ τοῦ φθονουμένου προσάψαιτο, τότε φανεροῖ τὴν νόσον, ἐν εὐφροσύνῃ τε καὶ ἡδονῇ τὴν ἐκείνου λύπην ποιούμενος. κατηγορεῖται δὲ τὰ κρυπτὰ τοῦ πάθους, ἕως ἂν λανθάνειν δοκῇ, διὰ τῶν φανερῶν τεκμηρίων

1 τὴν: τῶν VM   ἀηδίαν—εἶναι: οὐδεμίαν ἄλλην εἶναι χαλεπωτάτην νόσον VM   με post καὶ 156, 28 coll WC   2 γάρ om v   3 πολλῷ: πολὺ VM   ὅσον VM (deest W)   4 κακόν om v   6 ἡ om v   τὸ πρόσωπον Ψv   εἰς ἀσφάλειαν παρασκευάζει τὸν διωκόμενον post ἔφοδος add C   ἀλλ': ἀλλὰ τοὺς Φ   ἐν πράῳ: εὐπράῳ v   8 ἐπιφυλάσσοντας Φ   τε om Ψv   10 ὑποτρέφεται v   11 τῆς ὑποκρίσεως VM   14 φαινόμενον Ψv   14-15 βιαίως post συνθλιβόμενος coll VM   15 τύχει VM τύχῃ Wv   16 ἀναρριπίζει τὴν φλόγα VM   18 τινὰ ante θημῶνα coll Ψv (χημῶνα v) πεπιλημένων M   πηλημένον OR   20 ἡ: ἐκ v   21 σχῆμα: σῶμα VMZ   25 δοκῇ V (η e corr) δοκεῖ W(δοκῇ W² ut vid)M

τῶν περὶ τὸ πρόσωπον. τὰ γὰρ ἐπιθανάτια τῶν ἀπεγνωσμένων σημεῖα, ταῦτα τοῦ διὰ φθόνον ἐκτετηκότος πολλάκις γίνεται, ὀφθαλμοὶ ξηροί, κατεσκληκόσι τοῖς βλεφάροις ἐγκοιλαινόμενοι, ὀφρὺς συμπεπτωκυῖα, ὀστέα τῶν σαρκῶν ἐν τύπῳ διαφαινόμενα. ἡ δὲ αἰτία τῆς νόσου τίς; τὸ ἐν εὐθυμίᾳ ζῆν ἀδελφὸν ἢ οἰκεῖον ἢ γείτονα. ὢ καινῶν ἀδικημάτων. ἔγκλημα ποιεῖσθαι τὸ μὴ δυστυχεῖν ἐκεῖνον οὗ ταῖς εὐπραγίαις ἀλγύνεται, οὐκ ἐξ ὧν αὐτός τι πέπονθε παρ᾽ αὐτοῦ κακὸν τὴν ἀδικίαν κρίνων ἀλλ᾽ ἐξ ὧν ἐκεῖνος ἀδικῶν οὐδὲν ἐν τοῖς καταθυμίοις ἐστίν. Τί πέπονθας, ὦ δείλαιε; πρὸς αὐτὸν εἴποιμι ἄν. ἀντὶ τίνος ἐκτέτηκας, πικρῷ τῷ ὀφθαλμῷ τὰς εὐπραγίας ὑποβλέπων τοῦ γείτονος; τί ἐγκαλεῖν ἔχεις; εἰ εὐπρεπὴς ἐκεῖνος τῷ σώματι, εἰ λόγῳ κεκόσμηται, εἰ τῷ γένει τὸ πλέον ἔχει, εἴ τινος ἀρχῆς ἐπιβὰς λαμπρὸς ἐπὶ τῆς ἀξίας ὁρᾶται, εἰ χρημάτων αὐτῷ τις εὐπορία προσγέγονεν, εἰ σεμνὸς ἐν συλλόγοις διὰ τὴν φρόνησιν, εἰ περίβλεπτος τοῖς πολλοῖς ἐξ εὐεργεσίας ἐστίν, εἰ παισὶν ἐπαγάλλεται, εἰ γαμετῇ ἐπευφραίνεται, εἰ ταῖς τοῦ οἴκου προσόδοις λαμπρύνεται, διὰ τί σοι ταῦτα καθάπερ ἀκίδες βελῶν κατὰ τῆς καρδίας ἐμπίπτουσιν; συγκροτεῖς τὰς παλάμας, τοὺς δακτύλους συμπλέκεις, ἀδημονεῖς τοῖς λογισμοῖς, βύθιόν τι καὶ ὀδυνηρὸν ὑποστένεις, ἀηδής σοι ἡ τῶν προσόντων ἀπόλαυσις, πικρὰ ἡ τράπεζα, κατηφὴς ἡ ἑστία, ἕτοιμον τὸ οὖς πρὸς τὴν τοῦ εὐπραγοῦντος διαβολήν· εἰ δέ τι τῶν δεξιῶν λέγοιτο, βέβυσται ἡ ἀκοὴ πρὸς τὸν λόγον. καὶ οὕτω τὴν ψυχὴν διακείμενος, τί περιστέλλεις τῇ ὑποκρίσει τὴν νόσον; πῶς σοι τὸ τῆς φιλίας προσωπεῖον διὰ τῆς κατεσχηματισμένης

1 τῶν ante περὶ VME (quamquam τῶν ante φανερῶν 157, 25 om E): om WΨv 2 φθόνου v 3 σημεῖα ante γίνεται add ΦZ 4 ἐγκυλαινόμενοι VM ὀστᾶ VM 5 τόπῳ v στεναγμὸς συνεκπίπτων τῷ ἄσθματι εὐθείῳ τινὶ καὶ λανθάνοντι φθόγγῳ τὴν πικρίαν ἐπισημαίνων post διαφαινόμενα add C ἀθυμίᾳ v 7 μὴ om Ψ 7-8 τὰς εὐπραγίας post quod θεωρῶν add VM 9 κακῶν Ψ 16 λόγοις Ψv 18 εὐφραίνεται v 19 ἐπιλαμπρύνεται VM (deest W) 20 ἐπιπίπτουσιν VM 22 προσόδων VM 23 ἑστία: αἰτία v 24 εὖ πράττοντος Ψv (εὐπρ- v)

εὐνοίας ἐπιμορφάζεται; τί δεξιοῖ ταῖς εὐφήμοις προσηγορίαις,
1289 M. χαίρειν καὶ ὑγιαίνειν ἐγκελευόμενος, τὰ δὲ ἐναντία δι' ἀπορρήτων κατὰ ψυχὴν ἐπαρώμενος; τοιοῦτος ὁ Κάϊν ὁ τῇ εὐδοκιμήσει τοῦ Ἄβελ ἐπιλυσσήσας, ᾧ ὁ φθόνος μὲν ἔνδοθεν τὸν φόνον ἐνεκελεύετο, ἡ δὲ ὑπόκρισις δήμιος γίνεται. φίλον γάρ τι καὶ προσήγορον ὑπελθὼν σχῆμα, τῆς τῶν γονέων συμμαχίας πόρρωθεν αὐτὸν ἐπὶ τὸ πεδίον προήγαγεν· εἶθ' οὕτως ἐξεκάλυψε τῷ φόνῳ τὸν φθόνον. ὁ τοίνυν τὴν τοιαύτην νόσον ἐκβάλλων τῆς ἀνθρωπίνης ζωῆς καὶ δι' εὐνοίας τε καὶ εἰρήνης συνδεσμῶν τὸ ὁμόφυλον καὶ εἰς φιλικὴν ὁμοφωνίαν τοὺς ἀνθρώπους ἄγων, ἆρ' οὐχὶ θείας ὄντως δυνάμεως ἔργον ποιεῖ, τὰ μὲν κακὰ τῆς ἀνθρωπίνης φύσεως ὑπερορίζων, ἀντεισάγων δὲ τὴν τῶν ἀγαθῶν κοινωνίαν; διὰ τοῦτο υἱὸν θεοῦ τὸν εἰρηνοποιὸν ὀνομάζει, ὅτι μιμητὴς γίνεται τοῦ ἀληθινοῦ υἱοῦ ὁ ταῦτα τῇ τῶν ἀνθρώπων ζωῇ χαριζόμενος.

Μακάριοι τοίνυν οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. τίνες οὗτοι; οἱ μιμηταὶ τῆς θείας φιλανθρωπίας οἱ τὸ ἴδιον τῆς τοῦ θεοῦ ἐνεργείας ἐπὶ τοῦ ἰδίου δεικνύντες βίου. ἀναιρεῖ καθόλου καὶ εἰς τὸ μὴ ὂν περιίστησιν ὁ τῶν ἀγαθῶν εὐεργέτης καὶ κύριος πᾶν ὅσον ἐστὶν ἔκφυλον τοῦ ἀγαθοῦ καὶ ἀλλότριον. ταύτην νομοθετεῖ καὶ σοὶ τὴν ἐνέργειαν, ἐκβάλλειν τὸ μῖσος, καταλύειν τὸν πόλεμον, ἀφανίζειν τὸν φθόνον, ἐξορίζειν τὴν μάχην, ἀναιρεῖν τὴν ὑπόκρισιν,

3-8 cf Gen 4, 4-8 5-6 cf Plat Theaet 146A (φίλον, προσήγορον) 9-11 cf Marc Aur III, 4; V, 16; VI, 14; IX, 9; XII, 30; Plotin IV, iii, 8; ix, 3

1 ἐπιμορφίζεται Ψv δεξιοῖς Ψv τὸν ἴσα θανάτω μισούμενον post προσηγορίαις add C 2 τὰ: τί VM δὲ om Ψv 4 ᾧ om Ψv ἔνδον VM 5 ὑπόθεσις v δημοσία VM ἐγίγνετο VM 6 καὶ om VM εὐπροσήγορον VM 9 ἐκβαλὼν W 9-10 καὶ εὐνοίᾳ τε καὶ εἰρήνη Ψv 11 ὄντως om VMZ 12 τὰ μὲν κακὰ ES(fort e corr S)Z: τὰ μὲν κατὰ ΦΨ τὸ μὲν κακὸν C περιορίζων Ψv 15 υἱοῦ: θεοῦ v τῶν ἀνθρώπων: ἀνθρωπίνη VM ζωῇ τῶν ἀνθρώπων Ψv 18 ἴδιον ΨZ: ἴδιον ἐξαίρετον VM (ρ in ras V ἐξέρ- M) ἐξαίρετον καὶ ἴδιον W (cf Or dom 40, 14; 59, 7) τοῦ θεοῦ ΦZ: θείας Ψv 20-21 τοῦ ἀγαθοῦ ἔκφυλον Ψv post quod τε add v

κατασβεννύειν ἔνδοθεν τὴν ὑποσμύχουσαν ἐν τῇ καρδίᾳ μνησικακίαν, ἀντεισάγειν δὲ ἀντὶ τούτων ὅσα τῇ ὑπεξαιρέσει τῶν ἐναντίων ἀντικαθίσταται. ὡς γὰρ τῇ τοῦ σκότους ὑποχωρήσει τὸ φῶς ἐπιγίνεται, οὕτω καὶ ἀνθ' ἑκάστου τούτων ὁ τοῦ πνεύματος καρπὸς ἀντεισέρχεται, ἀγάπη, χαρά, εἰρήνη, χρηστότης, μακροθυμία, ἅπας ὁ παρὰ τοῦ ἀποστόλου κατειλεγμένος τῶν ἀγαθῶν ἀριθμός. πῶς οὖν οὐ μακάριος ὁ τῶν θείων δωρεῶν διανομεύς, ὁ μιμητὴς τῶν τοῦ θεοῦ χαρισμάτων, ὁ τῇ θείᾳ μεγαλοδωρεᾷ τὰς ἰδίας συνεξομοιῶν εὐποιΐας; τάχα δὲ οὐ πρὸς τὸ ἀλλότριον ἀγαθὸν μόνον ὁ μακαρισμὸς βλέπει· ἀλλ' οἶμαι κυρίως εἰρηνοποιὸν χρηματίζειν τὸν τὴν ἐν ἑαυτῷ στάσιν τῆς σαρκὸς καὶ τοῦ πνεύματος καὶ τὸν ἐμφύλιον τῆς φύσεως πόλεμον εἰς εἰρηνικὴν συμφωνίαν ἄγοντα, ὅταν μηκέτι ἐνεργὸς ᾖ ὁ τοῦ σώματος νόμος ὁ ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς ἀλλ' ὑποζευχθεὶς τῇ κρείττονι βασιλείᾳ ὑπηρέτης γένηται τῶν θείων ἐπιταγμάτων. μᾶλλον δὲ μὴ τοῦτο νομίσωμεν συμβουλεύειν τὸν λόγον, τὸ ἐν δυάδι νοεῖσθαι τῶν κατωρθωκότων τὸν βίον· ἀλλ' ἐπειδὰν ἐξαιρεθῇ τοῦ ἐν ἡμῖν φραγμοῦ τὸ τῆς κακίας μεσότοιχον, εἷς οἱ δύο τῇ πρὸς τὸ κρεῖττον ἀνακράσει συμφυέντες γίνονται. ἐπειδὴ τοίνυν ἁπλοῦν τὸ θεῖον καὶ ἀσύνθετον καὶ ἀσχημάτιστον εἶναι πεπίστευται, ὅταν καὶ τὸ ἀνθρώπινον διὰ τῆς τοιαύτης εἰρηνοποιΐας ἔξω τῆς κατὰ τὴν διπλόην συνθέσεως γένηται καὶ ἀκριβῶς εἰς τὸ ἀγαθὸν ἐπανέλθῃ, ἁπλοῦν τε καὶ ἀσχημάτιστον καὶ ὡς ἀληθῶς ἓν γενόμενον, ὡς ταὐτὸν εἶναι τῷ

7 Gal 5, 22-23   18-20 cf Eph 2, 14

1 ἔνδοθεν post ὑποσμύχουσαν coll Φ   3 ἀντικάθηται v   6 πᾶς VM   ὁ τῷ ἀποστόλῳ Ψv   9 τῆς θείας μεγαλοδωρεᾶς VM ἐξομοιῶν Ψv   10 μόνον post οὐ coll VM ante ἀγαθὸν coll W 14 ὅτ' ἂν μηκέτι ἡ σὰρξ ἐπιθυμῇ (-μεῖ C) κατὰ τοῦ πνεύματος ἀλλ' ἡ τοῦ πνεύματος χάρις ἐπικρατῇ (-τήσῃ C) τῶν σωματικῶν παθημάτων post ἄγοντα add AC   ὁ ante νόμος coll VM 16 γένηται Φ (sed ε fort ex ι corr et η e corr V): γίνεται Ψv 17 τό: τὸν Ψ   18 κατορθωκότων VM   κατορθοκότων W κατωρθοκότων K   19 ἐξερεθῇ WM   μεσότοιχον τῆς κακίας Ψv 20 ἀνακρίσει v   22 [ἐπὶ] (sic) ante τὸ add v   23 διπλῆν VMΨv (cf Or cat 9, 10)

κρυπτῷ τὸ φαινόμενον καὶ τῷ φαινομένῳ τὸ κεκρυμμένον, 1292 M. τότε ἀληθῶς κυροῦται ὁ μακαρισμὸς καὶ λέγονται κυρίως οἱ τοιοῦτοι υἱοὶ θεοῦ, μακαρισθέντες κατὰ τὴν ἐπαγγελίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Η′

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἡ μὲν τάξις τῆς ὑψηλῆς τῶν μαθημάτων διδασκαλίας ἐπὶ τὸν ὄγδοον ἀνάγει βαθμὸν τὴν παροῦσαν τοῦ ῥητοῦ θεωρίαν· ἐγὼ δὲ καλῶς ἔχειν φημὶ πρῶτον ἐκεῖνο κατανοῆσαι τῷ λόγῳ τί τὸ τῆς ὀγδόης παρὰ τῷ προφήτῃ μυστήριον τῆς ἐν δύο ψαλμῳδίαις προτεταγμένης, τί δὲ ὁ καθαρισμὸς καὶ τῆς περιτομῆς ἡ νομοθεσία, κατὰ τὴν ὀγδόην ἀμφότερα τῷ νόμῳ παρατηρούμενα. τάχα τι συγγενὲς ὁ ἀριθμὸς οὗτος πρὸς τὴν ὀγδόην ἔχει μακαριότητα, ἥτις ὥσπερ κορυφὴ τῶν μακαρισμῶν πάντων ἐπὶ τοῦ ἀκροτάτου κεῖται τῆς ἀγαθῆς ἀναβάσεως. ἐκεῖ τε γὰρ ὁ προφήτης τὴν ἀναστάσιμον ἡμέραν τῷ τῆς ὀγδόης αἰνίγματι διασημαίνει, καὶ ὁ καθαρισμὸς τὴν ἐπὶ τὸ καθαρόν τε καὶ κατὰ φύσιν ἐπάνοδον τοῦ μολυνθέντος ἀνθρώπου ἐνδείκνυται, καὶ ἡ περιτομὴ τὴν τῶν νεκρῶν δερμάτων ἀποβολὴν ἑρμηνεύει, ἃ μετὰ τὴν παρακοὴν τῆς ζωῆς γυμνωθέντες ἐνεδυσάμεθα, καὶ ἐνταῦθα ἡ ὀγδόη

12-13 Ps 6, 1; 11, 1   14-15 Lev 12, 2-3; Gen 17, 12; cf Luc 2, 21   22-23 cf Gen 3, 21

1 κεκρυμμένον: κρυπτόμενον VM   4 καὶ τὸ κράτος post δόξα add ΦΖ   4-5 τῶν αἰώνων om VW   5 ἐτελεώθη λόγος ζ′ post ἀμήν add Ζ   6 λόγος η′: εἰς τοὺς μακαρισμοὺς ὁμιλία η′ W ὁμιλία η′ ACS (post οὐρανῶν 8 coll AS) τοῦ αὐτοῦ λόγος η′ E om VMΨ (sed λόγος λδ′ in marg scr K)   ἑξῆς λόγος η′ Ζ   7 τοῦ αὐτοῦ ante μακάριοι add A   9 ἡ μὲν—11 λόγῳ om ΦΖ   μαθημάτων ORC: μαθητῶν K   10 ἀνάγει C: ἄγει Ψv   13 καὶ post δὲ add VMZ   μακαρισμὸς v   14 ἡ ante τῆς 13 coll WΨv   14 ἀμφότερα—16 ὀγδόην om VM   16 ἥτις: εἴ τις VW   τις ante τῶν add VM   19 αἰνίγματι: ὀνόματι VM

μακαριότης τὴν εἰς τοὺς οὐρανοὺς ἀποκατάστασιν ἔχει τῶν εἰς δουλείαν μὲν ἐκπεσόντων, ἐπὶ βασιλείαν δὲ πάλιν ἐκ τῆς δουλείας ἀνακληθέντων.

Μακάριοι γάρ, φησίν, οἱ δεδιωγμένοι ἕνεκεν ἐμοῦ, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. ἰδοὺ τὸ πέρας τῶν κατὰ θεὸν ἀγώνων, τὸ τῶν πόνων γέρας, τὸ τῶν ἱδρώτων ἔπαθλον· τὸ τῆς ἐν τοῖς οὐρανοῖς βασιλείας ἀξιωθῆναι. οὐκέτι περὶ τὸ ἄστατόν τε καὶ ἀλλοιούμενον ἡ τῆς εὐκληρίας ἐλπὶς διαπλανᾶται. ὁ γὰρ περίγειος χῶρος τῶν τρεπομένων τε καὶ ἀλλοιουμένων ἐστίν· τῶν δὲ κατὰ τὸν οὐρανὸν φαινομένων τε καὶ κινουμένων οὐδὲν τοιοῦτον ἐπιγινώσκομεν, οἷον μὴ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχειν, ἀλλ' εἱρμῷ καὶ τάξει καὶ ἀκολουθίᾳ πρὸς τὸν ἴδιον δρόμον πάντα τὰ κατὰ τὸν οὐρανὸν διεξάγεται. ὁρᾷς τοίνυν τῆς δωρεᾶς τὴν ὑπερβολήν; ὅτι οὐκ ἐν τοῖς τρεπομένοις τὸ μέγεθος τῆς ἀξίας χαρίζεται, ὡς ἂν μή τις μεταβολῆς φόβος τὰς χρηστοτέρας ἐλπίδας παραλυπήσειεν. ἀλλ' οὐρανῶν μὲν βασιλείαν εἰπὼν δείκνυσι τὸ ἀμετάβλητόν τε καὶ ἀεὶ ὡσαύτως ἔχον τῆς κατ' ἐλπίδα προκειμένης ἡμῖν δωρεᾶς. ὃ δέ μοι διαπορεῖν ἐκ τῶν εἰρημένων ἐπέρχεται τοῦτό ἐστιν· πρῶτον μὲν ὅτι τὸ πτωχεῦσαι τῷ πνεύματι τοῖς ἕνεκεν αὐτοῦ διωχθεῖσιν εἰς ἴσον ἄγει, ἓν ἑκατέροις τὸ γέρας προθείς· ὧν γὰρ τὸ ἔπαθλον τὸ αὐτὸ τούτων δηλαδὴ καὶ οἱ ἀγῶνες ἴσοι. ἔπειτα δὲ πῶς τοὺς δεξιοὺς ἀπὸ τῶν εὐωνύμων διακρίνας προσκαλεῖται πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν, ἄλλας τῆς τοιαύτης τιμῆς τὰς αἰτίας

4 cf Matth 5, 11; Luc 6, 22 9 cf Phil Iud Quod deter pot ins sol IX, 27 (περίγειος χ.) 23 sqq cf Matth 25, 31-46

4 ἐμοῦ: δικαιοσύνης VM (cf test) 9 ἐπίγειος VM (cf test; Or cat 32, 3 et 9; Or dom 48, 27) 11 κινουμένων: νοουμένων ΦΖ τοιοῦτον ΦΖ: τούτων Ψ'v οἷον: ὡς v 12 ταὐτὰ: ταυτὸ VM ταῦτα W τὰ αὐτὰ Ψ'v ἔχει VM 12-13 ἀκολουθία καὶ τάξει Φ (cf Or cat 80, 12-13) τὰ om v 14 διεξέρχεται Ψ' διεξέρχεσθαι v 16 μή: εἴ v 17 μὲν om Φ 18 τε om Ψ'v ἀεὶ om VM 20 τὸ: τῷ VWv 21 ἄγει WCS: ἄγειν VMΨ'v ἓν WZ: ταὐτὸν CS om VMΨ'v 22 ἑκατέρου ΦΝ (cf Or dom 41, 3-7) προθείς (-θεῖς W): προτίθησιν VMΨ' προστίθησιν v 24 εὐωνύμων: σκαιῶν Φ

λέγων; τὸ γὰρ συμπαθές τε καὶ μεταδοτικὸν καὶ φιλάλληλον ἐκεῖ προφέρων οὐδαμοῦ μέμνηται οὔτε τῆς πνευματικῆς
1293 M. πτωχείας οὔτε τῆς ἕνεκεν ἐκείνου διώξεως· καίτοι πολὺ δοκεῖ κατὰ τὸ πρόχειρον τῆς διανοίας ἀπ' ἀλλήλων ταῦτα διακεκρίσθαι. τί γὰρ κοινωνεῖ τὸ πτωχεῦσαι τῷ διωχθῆναι; ἢ ταῦτα πάλιν τίνα συμφωνίαν ἔχει πρὸς τὰ τῆς ἀγαπητικῆς συμπαθείας ἀποτελέσματα; ἔθρεψέ τις τὸν δεόμενον ἢ τὸν γυμνὸν περιέβαλεν ἢ στέγῃ τὸν ὁδίτην ἐδεξιώσατο ἢ ἀσθενοῦντι καὶ κατακλειστῷ τὴν ἐνδεχομένην θεραπείαν προσήγαγεν· τί ταῦτα πρὸς τὸ πτωχεῦσαι καὶ διωχθῆναι κοινὸν ἔχει κατὰ τὸν τοῦ ἐπιτηδεύματος λόγον; οὗτος ἀλλοτρίας συμφορὰς θεραπεύει· ἐκείνων δὲ ἑκάτερος, ὅ τε πτωχεύων καὶ ὁ διωκόμενος, τῶν θεραπευόντων προσδέεται, ἀλλὰ τὸ πέρας ἐπὶ πάντων ἴσον. ὁμοίως γὰρ εἰς οὐρανοὺς ἀνάγει τόν τε πτωχεύσαντα τῷ πνεύματι καὶ τὸν ἕνεκεν αὐτοῦ διωχθέντα καὶ τοὺς τὸ συμπαθὲς ἐπιδειξαμένους πρὸς τὸ ὁμόφυλον. τί οὖν φαμεν πρὸς ταῦτα; ὅτι ἔχεται ἀλλήλων τὰ πάντα πρὸς τὸν ἕνα σκοπὸν συννενευκότα τε καὶ συμπνέοντα. ἥ τε γὰρ πτωχεία πρὸς μετανάστασιν εὔκολος, καὶ ἡ φιλοπτωχία τῆς πτωχείας οὐκ ἠλλοτρίωται. ἀλλά μοι δοκεῖ καλῶς ἔχειν πρότερον τὸν παρόντα λόγον ἀναζητῆσαι, εἶθ' οὕτω τὴν ἐν τοῖς ἐξητασμένοις συμφωνίαν κατὰ τὸν νοῦν ἐπισκέψασθαι.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. οἱ πόθεν δεδιωγμένοι καὶ παρὰ τίνος; ὁ μὲν οὖν πρόχειρος λόγος τὸ τῶν μαρτύρων ἡμῖν ὑποδείκνυσι στάδιον καὶ τὸν τῆς πίστεως δρόμον ὑποσημαίνει. ἡ γὰρ δίωξις τὴν σύντονον τοῦ τρέχοντος περὶ τὸ τάχος σπουδὴν ἑρμηνεύει· μᾶλλον δὲ καὶ τὴν ἐν τῷ τρέχειν νίκην ὑποσημαίνει. οὐ γὰρ ἔστιν ἑτέρως νικῆσαι

17-18 cf Epict I, 14; Marc Aur V, 30; VI, 38; VII, 9; Plotin IV, iv, 35; 40-41

3 ἐκείνου: αὐτοῦ VM 5 διακρίνεσθαι VM τῷ: τοῦ VM τὸ W 7 δεόμενον: πτωχὸν VM 8 στέγῃ τὸν: στεγητὸν v 9 καὶ om VM κατακλίτω VM κατακλείσθω K 14 οὐρανὸν Ψv ἄγει Ψv τε om v 16 τὸν ὁμόφυλον VM (cf 154, 8-9; 159, 10) 18 τε pr om Ψv 22 κατὰ: καὶ Ψv 23 οἱ alt om v 24 ἢ (sic) ante καὶ add V ἢ (sic) add M 26 ὑποσημαίνει δρόμον VM

τρέχοντα μὴ κατόπιν καταλιπόντα ἑαυτοῦ τὸν συντρέχοντα. ἐπεὶ οὖν ὅ τε πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τρέχων καὶ ὁ διὰ τὸ βραβεῖον παρὰ τοῦ ἐχθροῦ διωκόμενος ἐπίσης ἔχουσι κατὰ νώτου ὁ μὲν τὸν διαμιλλώμενον, ὁ δὲ τὸν διώκοντα, οὗτοι δέ εἰσιν οἱ τὸν τοῦ μαρτυρίου δρόμον ἀνύοντες, ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶσι διωκόμενοι καὶ οὐ καταλαμβανόμενοι, ἔοικε τὸ κεφάλαιον τῆς κατ' ἐλπίδα προκειμένης μακαριότητος οἷόν τινα στέφανον ἐν τελευταίοις προτεθηκέναι ὁ λόγος. μακάριον γὰρ ὡς ἀληθῶς τὸ ἕνεκεν τοῦ κυρίου διώκεσθαι. διὰ τί; ὅτι τὸ παρὰ τοῦ κακοῦ ἐκδιώκεσθαι αἴτιον τοῦ ἐν τῷ ἀγαθῷ γενέσθαι καθίσταται. ἡ γὰρ τοῦ πονηροῦ ἀλλοτρίωσις τῆς πρὸς τὸ ἀγαθὸν οἰκειώσεως ἀφορμὴ γίνεται· ἀγαθὸν δὲ καὶ παντὸς ἀγαθοῦ ἐπέκεινα αὐτὸς ὁ κύριος, πρὸς ὃν τρέχει ὁ διωκόμενος. οὐκοῦν μακάριος ὡς ἀληθῶς ὁ συνεργῷ τῷ ἐχθρῷ πρὸς τὸ ἀγαθὸν χρώμενος. ἐπειδὴ γὰρ ἐν μεθορίῳ κεῖται τοῦ ἀγαθοῦ καὶ τοῦ χείρονος ἡ ἀνθρωπίνη ζωή, ὥσπερ ὁ τῆς ἀγαθῆς τε καὶ ὑψηλῆς ἐλπίδος ἀπολισθήσας ἐν τῷ βαράθρῳ γίνεται, οὕτως ὁ τῆς ἁμαρτίας ἀποικισθεὶς καὶ τῆς φθορᾶς ἀλλοτριωθεὶς δικαιοσύνην τε καὶ ἀφθαρσίαν μετέρχεται, ὥστε τῆς παρὰ τῶν τυράννων γινομένης κατὰ τῶν μαρτύρων διώξεως τὸ μὲν εἶδος κατὰ τὸ προχείρως φαινόμενον ἀλγεινὸν εἶναι τῇ αἰσθήσει δοκεῖ,
1296 M. ὁ δὲ σκοπὸς τῶν γινομένων ὑπερβαίνει πᾶσαν μακαριότητα. κρεῖττον δ' ἂν εἴη δι' ὑποδειγμάτων ἡμᾶς τοῦ λόγου κατιδεῖν τὴν διάνοιαν. τίς οὐκ οἶδεν ὅσῳ τοῦ ἀγαπᾶσθαι τὸ ἐπιβουλεύεσθαι χαλεπώτερον κέκριται; τοῦτο μέντοι πολλάκις τὸ δοκοῦν χαλεπὸν καὶ τῆς κατὰ τὸν βίον τοῦτον εὐκληρίας πολλοῖς αἴτιον γίνεται, οἷον περὶ τοῦ Ἰωσὴφ ὁ λόγος ἐνδείκνυ-

28 Gen 37, 2 sqq

3 διωκόμενος ante παρὰ coll Ψv 4 ἁμιλλώμενον Φ 6 καὶ post ἀγῶσι add W 6-7 καὶ οὐ καταλαμβανόμενοι om VMZ 8 προστεθηκέναι Φ (-θεικ- V) προτεθεικέναι Ψv correxi 9 ὁ λόγος: λόγοις Ψv ἕνεκα W τοῦ om Φ 11 τοῦ ante ἐν om Ψv 14 ἀνατρέχει Ψv 19 ἀπῳκισθεὶς v ἀπαλλοτριωθεὶς VM 22 δοκεῖ om v 24 κατειδεῖν W(-εὶν W)M 28-1 περὶ—ἐνδείκνυται: ἡ περὶ τὸν (τοῦ W) ἰωσὴφ ἱστορία φησίν ΦZ

ται, ὃς ἐπιβουλευθεὶς παρὰ τῶν ἀδελφῶν καὶ τῆς μετ' αὐτῶν συνδιαγωγῆς ἀπελαθεὶς διὰ τῆς πράσεως βασιλεὺς ἀνεδείχθη τῶν ἐπιβεβουλευκότων, οὐκ ἂν ἴσως προελθὼν ἐπὶ τὸ τηλικοῦτον ἀξίωμα μὴ τοῦ φθόνου διὰ τῆς ἐπιβουλῆς ἐκείνης τὴν βασιλείαν ὁδοποιήσαντος. ὥσπερ τοίνυν εἴ τις τοῦ μέλλοντος τὴν γνῶσιν ἔχων προεῖπε τῷ Ἰωσὴφ ὅτι Ἐπιβουλευθεὶς μακάριος ἔσῃ, οὐκ ἂν ἐκ τοῦ προχείρου πιθανὸς ἔδοξε τῷ ἀκούοντι, πρὸς τὸ παραχρῆμα λυπηρὸν ὁρῶντι—οὐ γὰρ ἂν ᾠήθη δυνατὸν εἶναι κακῆς προαιρέσεως ἀγαθὸν ἀναδειχθῆναι τὸ πέρας—οὕτω δὴ καὶ ἐνταῦθα ὁ παρὰ τῶν τυράννων τοῖς πιστοῖς ἐπαγόμενος διωγμός, πολὺ κατὰ τὴν αἴσθησιν τὸ ἀλγεινὸν ἔχων, δυσπαράδεκτον ποιεῖ τοῖς σαρκωδεστέροις τὴν διὰ τῶν ἀλγεινῶν αὐτοῖς προκειμένην τῆς βασιλείας ἐλπίδα. ἀλλ' ὁ κύριος τὸ σαθρὸν ὑπερείδων τῆς φύσεως προαναφωνεῖ τοῖς ἀσθενεστέροις οἷόν ἐστι τῆς ἀγωνίας τὸ πέρας, ἵνα τῇ τῆς βασιλείας ἐλπίδι τὴν πρόσκαιρον τῶν ἀλγεινῶν αἴσθησιν εὐκόλως καταπαλαίσωσιν. διὰ τοῦτο χαίρει ὁ μέγας Στέφανος ἐν κύκλῳ καταλευόμενος, καὶ οἷόν τινα δρόσον ἡδεῖαν προθύμως τῷ σώματι δέχεται τὰς ἐπαλλήλους τῶν λίθων νιφάδας, καὶ εὐλογίαις τοὺς μιαιφονοῦντας ἀμείβεται, μὴ στῆναι τὴν ἁμαρτίαν τούτοις αὐτοῖς ἐπευχόμενος, ἐπειδὴ καὶ τῆς ἐπαγγελίας ἤκουσε καὶ τὴν ἐλπίδα τοῖς φαινομένοις εἶδε συμβαίνουσαν. ἐν βασιλείᾳ γὰρ οὐρανῶν τοὺς ἕνεκεν τοῦ κυρίου δεδιωγμένους ἀκούσας γενήσεσθαι, εἶδε τὸ προσδοκώμενον ἐν ᾧ ἐδιώκετο. τρέχοντι γὰρ αὐτῷ διὰ τῆς ὁμολογίας τὸ ἐλπιζόμενον δείκνυται, οὐρανὸς ἀνοιγόμενος, ἡ θεία δόξα πρὸς τὸν ἀγῶνα τοῦ τρέχοντος ἐκ τῆς ὑπερκοσμίου λήξεως κατακύπτουσα, αὐτὸς ὁ ἐν τοῖς ἀγῶσιν ὑπὸ τοῦ ἀθλητοῦ μαρτυρούμενος. ἡ γὰρ

17-29 cf Act 7, 55-60

2 ἀπελασθεὶς VM 4 τῶν ἀδελφῶν post φθόνου add ΦΖ 10 δὴ om ΦΖ παρὰ om v 11 διωγμός: πόλεμος W 12 τὸ ante κατὰ 11 coll WAC 13 τὴν ante ἐλπίδα 14 coll VM 14 ὑπεριδὼν ΨΖv 18 ἐν om v καταλευόμενος Φ(-λλ- Φ)ΑΝ(-εβό- Ν)Ε: καταλιθαζόμενος ΨCv (cf Con Eun I² 104, 2) 19 τῷ σώματι προθύμως VM 22 αὐτοῖς om VMZ 25 γενέσθαι Kv

τοῦ ἀγωνοθέτου στάσις τὴν πρὸς τὸν ἀγωνιζόμενον συμμαχίαν παραδηλοῖ δι᾽ αἰνίγματος, ὡς ἂν διὰ τούτου μάθοιμεν τὸν αὐτὸν εἶναι καὶ τὸν διατιθέντα τοὺς ἄθλους καὶ τὸν κατὰ τῶν ἀντιπάλων τοῖς ἰδίοις ἀγωνισταῖς συνιστάμενον. τί τοίνυν ἂν εἴη μακαριστότερον τοῦ διὰ τὸν κύριον δεδιωγμένου, ᾧ ὑπάρχει συναγωνιστὴν τὸν ἀγωνοθέτην ἔχειν;

Οὐδὲ γὰρ τῶν εὐκόλων ἐστίν, τάχα δὲ καὶ καθάπαξ ἀδύνατον τῶν κατὰ τὴν ζωὴν ταύτην ἡδέων τὸ μὴ φαινόμενον ἀγαθὸν προτιμῆσαι τῶν φαινομένων ὥστε ῥᾳδίως ἑλέσθαι τινὰ ἢ τῆς ἑστίας ἐξοικισθῆναι ἢ γαμετῆς καὶ παίδων ἀδελφῶν τε καὶ γονέων καὶ ὁμηλίκων καὶ πάντων τῶν κατὰ τὸν βίον ἡδέων ἔξω γενέσθαι, μὴ αὐτοῦ τοῦ κυρίου συνεργοῦντος αὐτῷ πρὸς τὸ ἀγαθὸν τῷ κατὰ πρόθεσιν κλητῷ γεγονότι. ὃν γὰρ προγινώσκει, καθώς φησιν ὁ ἀπόστολος, τοῦτον
1297 M. καὶ προορίζει καὶ καλεῖ καὶ δικαιοῖ καὶ δοξάζει. ἐπειδὴ τοίνυν συμφύεταί πως ἡ ψυχὴ διὰ τῶν σωματικῶν αἰσθήσεων πρὸς τὰ ἡδέα τοῦ βίου, καὶ τῇ εὐχροίᾳ τῆς ὕλης διὰ τῶν ὀφθαλμῶν ἐπιτέρπεται, καὶ τῇ ἀκοῇ πρὸς τὰ ἡδέα τῶν ἀκουσμάτων τὴν ῥοπὴν ἔχει, τῇ τε ὀσφρήσει καὶ τῇ γεύσει καὶ τῇ ἁφῇ καθὸ πέφυκεν οἰκείως ἔχειν ἑκάστη συνδιατίθεται, διὰ τοῦτο οἱόν τινι ἥλῳ πρὸς τὰ ἡδέα τοῦ βίου τῇ αἰσθητικῇ δυνάμει προσηλωμένη δυσαποσπάστως ἔχει τούτων οἷς συνεφύη προσκολληθεῖσα, καὶ κατὰ τὰς χελώνας ἢ τοὺς κοχλίας οἱόν τινι ὀστρακίνῳ καλύμματι ἐνδεδεμένη δυσπόρευτός ἐστι πρὸς τὰς τοιαύτας κινήσεις, ὅλον συνεπισυρομένη τοῦ βίου τὸ ἄχθος. διὸ καὶ εὐάλωτος γίνεται ἡ οὕτως ἔχουσα τοῖς διώκουσιν, πρὸς δημεύσεως ἀπειλὴν ἢ ζημίαν [ἢ] τινὸς ἄλλου τῶν κατὰ τὴν ζωὴν ταύτην σπουδαζομένων εὐχερῶς ἐνδιδοῦσα καὶ ὑποχείριος τῷ διώκοντι γινομένη. ἀλλ᾽ ἐπει-

14 Rom 8, 28-30

5 μακαριώτερον VΨv 10 ἑστίας: οἰκίας VMv ἐξεωθῆναι V ἀξιωθῆναι (sic) M 13 αὐτῷ om v τῷ om VM 19 ἀκροαμάτων v 20 ἑκάστω VM 22 προσκολλωμένη v 23 ἢ: καὶ v 25 ἐπισυρομένη VM 27 ἢ ante τινὸς secundum Z (ut vid) delevi 29 ὑπόχειρος v γινομένη τῷ διώκοντι Ψv

δὰν ὁ ζῶν λόγος, καθώς φησιν ὁ ἀπόστολος, ὁ ἐνεργὸς καὶ τμητικὸς ὑπὲρ πᾶσαν μάχαιραν δίστομον ἐντὸς γένηται τοῦ ἀληθινῶς παραδεξαμένου τὴν πίστιν καὶ διατέμῃ τὰ κακῶς συμπεφυκότα καὶ τὰ τῆς συνηθείας δεσμὰ διακόψῃ, τότε καθάπερ τι ἄχθος τῇ ψυχῇ συνδεδεμένον τὰς κοσμικὰς ἡδονὰς οἷόν τις δρομεὺς τῶν ὤμων ἀποσεισάμενος κοῦφος καὶ εὐσταλὴς τὸ τῶν ἀγώνων στάδιον διεξέρχεται, χειραγωγῷ πρὸς τὸν δρόμον αὐτῷ τῷ ἀγωνοθέτῃ χρώμενος. οὐ γὰρ ὅσα κατέλιπε βλέπει ἀλλ' ὅσα μετέρχεται, οὐδὲ πρὸς τὸ κατόπιν ἡδὺ τὸν ὀφθαλμὸν ἐπιστρέφει ἀλλὰ πρὸς τὸ προκείμενον ἀγαθὸν ἵεται, οὐδὲ τῇ ζημίᾳ τῶν γηΐνων ἀλγύνεται ἀλλὰ τῷ κέρδει τῶν ἐπουρανίων ἀγάλλεται. διὰ τοῦτο πᾶν κολαστηρίων εἶδος, ὡς ἀφορμὴν καὶ συνεργίαν τῆς προκειμένης χαρᾶς, ἑτοίμως δέχεται· τὸ πῦρ ὡς τῆς ὕλης καθάρσιον, τὸ ξίφος ὡς διαιρετικὸν τῆς πρὸς τὰ ὑλώδη καὶ σάρκινα τοῦ νοῦ συμφυΐας, πᾶσαν πόνων τε καὶ ἀλγημάτων ἐπίνοιαν ὡς τοῦ πονηροῦ δηλητηρίου τοῦ κατὰ τὴν ἡδονὴν ἀντιφάρμακον οὖσαν προθύμως δέχεται. καθάπερ γὰρ οἱ περιττωματικοὶ καὶ χολώδεις ἑτοίμως σπῶσι τῆς πικρᾶς ἀντιδότου ὡς ἂν δι' ἐκείνης τὸ νοσοποιὸν αἴτιον ἀποκλυσθείη, οὕτω δέχεται ὁ παρὰ τοῦ ἐχθροῦ διωκόμενος καὶ πρὸς τὸν θεὸν φεύγων τὴν τῶν ἀλγεινῶν προσβολὴν ὡς σβεστήριον οὖσαν τῆς καθ' ἡδονὴν ἐνεργείας· οὐκ ἔστι γὰρ ἡσθῆναι τὸν ἀλγυνόμενον. ἐπεὶ οὖν δι' ἡδονῆς εἰσῆλθεν ἡ ἁμαρτία, διὰ τοῦ ἐναντίου πάντως ἐξελαθήσεται. οὐκοῦν οἱ διώκοντες διὰ τὴν εἰς τὸν κύριον ὁμολογίαν καὶ τὰ δυσβάστακτα τῶν κολαστηρίων ἐπινοοῦντες ἰατρείαν τινὰ ταῖς ψυχαῖς διὰ τῶν πόνων προσάγουσιν, ταῖς τῶν ἀλγεινῶν προσβολαῖς τὴν καθ' ἡδονὴν θεραπεύοντες

1 Hebr 4, 12

3 ἀληθινὸς V ἀληθῶς Ψv 6 ἡδονὰς ΨZ: ἀχθηδόνας Φ 8 διέρχεται VM 11 στρέφει VM 14 συνέργειαν v 18 δειλητηρίου VM 19 γὰρ VMRKZ: om WOv 20 ἀντιδόσεως v 23 εἰσβολὴν Ψv (cf 29) ὡς om Ψv βεστήριον WM (β [illegible] corr ut vid M) 24 αἰσθηθῆναι V αἰσθηθήναι M αἰσθῆναι sed supra αι pr η fort sscr W 25 τοῦ: τοῦτο v 26 ἐξελασθήσεται VM

νόσον. οὕτω δέχεται τὸν σταυρὸν Παῦλος, τὸ ξίφος Ἰάκωβος, τοὺς λίθους Στέφανος, τὸν ἐπὶ κεφαλὴν ἀνασκολοπισμὸν ὁ μακάριος Πέτρος. πάντες οἱ μετὰ ταῦτα τῆς πίστεως ἀγωνισταὶ τὰς πολυτρόπους τῶν κολαστηρίων ἰδέας, θηρία, βάραθρα, πυρκαϊάς, τὰς ἐν κρυμῷ πήξεις, τὰς τῶν πλευρῶν ἀποσαρκώσεις, τὰς τῶν κεφαλῶν περιηλώσεις, τὰς τῶν 1300 M. ὀμμάτων ἀποβολάς, τὰς τῶν δακτύλων ἀποκοπάς, τὰς ἐφ' ἑκάτερα παντὸς τοῦ σώματος διὰ τῶν σκελῶν ῥήξεις, τὰς διὰ τοῦ λιμοῦ τηκεδόνας, πάντα ταῦτα καὶ τὰ τοιαῦτα ὡς καθάρσια τῆς ἁμαρτίας οἱ ἅγιοι μετ' εὐφροσύνης προσίεντο, ὡς ἂν μηδὲν ἴχνος τῇ καρδίᾳ διὰ τῆς ἡδονῆς ἐγγενόμενον ὑπολειφθείη, τῆς ἀλγεινῆς ταύτης καὶ δριμείας αἰσθήσεως πάντας τοὺς καθ' ἡδονὴν ἐγγενομένους τῇ ψυχῇ τύπους ἐξαλειφούσης.

Μακάριοι τοίνυν οἱ δεδιωγμένοι ἕνεκεν ἐμοῦ. τοῦτο δὲ τοιοῦτόν ἐστιν—ὡς ἂν καὶ τὸν ἕτερον λόγον κατανοήσαιμεν—ὡς εἴ τις τῇ ὑγιείᾳ λόγον δοίη· εἴποι ἂν κἀκείνη ὅτι Μακάριοι οἱ ἀπὸ τῆς νόσου κεχωρισμένοι ἕνεκεν ἐμοῦ· ἡ γὰρ τῶν λυπηρῶν ἀλλοτρίωσις τὸ ἐν ἐμοὶ γενέσθαι τούς ποτε νενοσηκότας παρασκευάζει. οὕτως ἀκούσωμεν τῆς φωνῆς ὡς αὐτῆς τῆς ζωῆς ἡμῖν τὸν τοιοῦτον μακαρισμὸν ἐμβοώσης, Μακάριοι οἱ δεδιωγμένοι ὑπὸ τοῦ θανάτου ἕνεκεν ἐμοῦ, ἢ ὡς εἰ τὸ φῶς λέγοι ὅτι Μακάριος ὁ δεδιωγμένος ὑπὸ τοῦ σκότους ἕνεκεν ἐμοῦ· ὁμοίως δὲ καὶ ἡ δικαιοσύνη καὶ ὁ ἁγιασμὸς

1 cf Gal 2, 19 (Παῦλος; sed contra Euseb Hist eccl II, 25); cf Act 12, 2 (Ἰάκωβος) 2 cf Act 7, 58-59 (Στέφανος) 2-3 cf Euseb op cit III, 1 (Πέτρος)

1-3 cum hoc ordine nominum congruit Z 1 ἀνδρέας post δέχεται add W ὁ ante παῦλος add Ψv παῦλος: ἀνδρέας V καὶ ante ἰάκωβος add W 2 κεφαλῆς VM 4 κολάσεων Φ εἰδέας Φ 5 ἐν κρυμῷ: τῶν κρυμῶν Ψv 6 περικυκλώσεις v 7 τῶν ante ἐφ' add Ψv 8 παντὸς Φ (-ῶς M): om Ψv 10 καθάρσιον VM 11 κακίας post ἴχνος add ΦZ (cf 92, 13-14) ἐγγινόμενον Ψv 13 ἐγγινομένους Ψv 16 κατανοήσωμεν VMΨv (inter α et ν un lit eras V) 17 εἴπῃ v 22-23 ἢ ὡς εἰ: ὡς Ψv. 23 ὅτι om v μακάριοι οἱ δεδιωγμένοι Ψv 24 δὲ om ΨZv ὁ om v

καὶ ἡ ἀφθαρσία καὶ ἡ ἀγαθότης καὶ πᾶν νόημα τῶν πρὸς τὸ κρεῖττον νοουμένων τε καὶ λεγομένων. ὁ κύριος, ὧν καθὸ νοεῖται, κατ' ἐκεῖνό σοι λέγειν νομιζέσθω ὅτι Μακάριός ἐστι πᾶς ὁ παντὸς ἐναντίου πράγματος ἀπελαυνόμενος, φθορᾶς, σκότους, ἁμαρτίας, ἀδικίας, πλεονεξίας, ἑκάστου τῶν ἀντιδιαστελλομένων τοῖς κατὰ τὴν ἀρετὴν λόγοις πράγμασί τε καὶ νοήμασιν. τὸ γὰρ ἔξω τῶν κακῶν γενέσθαι ἐντός ἐστι τῶν ἀγαθῶν καταστῆναι. Ὁ ποιῶν τὴν ἁμαρτίαν, φησὶν ὁ κύριος, δοῦλός ἐστι τῆς ἁμαρτίας. οὐκοῦν ὁ ἀποστὰς ᾧ ἐδούλευσεν ἐλευθεριάζει τῷ ἀξιώματι. τὸ δὲ ἀκρότατον τῆς ἐλευθερίας εἶδος τὸ αὐτεξούσιόν ἐστι γενέσθαι. ἡ δὲ τῆς βασιλείας ἀξία ὑπερκειμένην ἑαυτῆς τινα τυραννίδα οὐκ ἔχει. οὐκοῦν εἰ αὐτεξούσιός ἐστιν ὁ τῆς ἁμαρτίας ἀλλότριος, ἴδιον δὲ βασιλείας ἐστὶ τὸ αὐτοκρατές τε καὶ ἀδέσποτον, ἀκολούθως μακαρίζεται ὁ ἀπὸ τοῦ κακοῦ διωκόμενος ὡς τῆς ἐκεῖθεν διώξεως τὴν βασιλικὴν ἀξίαν αὐτῷ προξενούσης. μὴ οὖν ἀχθεσθῶμεν, ἀδελφοί, τῶν γηΐνων ἀπελαυνόμενοι. ὁ γὰρ ἐντεῦθεν μεταστὰς ἐν τοῖς κατ' οὐρανὸν βασιλείοις αὐλίζεται. δύο ταῦτά ἐστι στοιχεῖα ἐν τῇ τῶν ὄντων κτίσει πρὸς διαγωγὴν τῆς λογικῆς φύσεως μεμερισμένα, ἡ γῆ τε καὶ ὁ οὐρανός. τόπος τῶν διὰ σαρκὸς τὴν ζωὴν εἰληχότων ἡ γῆ, ὁ δὲ οὐρανὸς τῶν ἀσωμάτων. ἀνάγκη τοίνυν πάντως εἶναι ποὺ τὴν ἡμετέραν ζωήν· ἐὰν μὴ διωχθῶμεν ἀπὸ τῆς γῆς, τῇ γῇ πάντως ἐναπομένομεν· ἐὰν ἐντεῦθεν ἀπελαθῶμεν, ἐπὶ τὸν οὐρανὸν μετοικισθησόμεθα. ὁρᾷς εἰς ὅ τι φέρει ὁ μακαρισμός, διὰ τοῦ δοκοῦντος λυπηροῦ τοῦ τοσούτου σοι ἀγαθοῦ γινόμενος πρόξενος; ὅπερ νοήσας φησὶ καὶ ὁ ἀπόστολος ὅτι Πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι

8 Ioh 8, 34   27 Hebr 12, 11

2-3 νοεῖται om VM   ἐκεῖνό: εἰκόνα VM   4 πᾶς om VMZ   6 διαστελλομένων v   κατ' ἀρετὴν VM   7 νοήμασιν: ὀνόμασι(ν) ΦZ   9 ᾧ: ὧν VM   10 ἐδούλευεν VM   18 μεταναστὰς VM   20 ἡ om VM   ὁ om VM   21 εἰληχότων τὴν ζωὴν Ψv   22 τοίνυν ΨCEZ: om ΦAS   24 ἐναπομένωμεν Φ   ἐναπομενοῦμεν C   ἀπελασθῶμεν VM   ἀπέλθωμεν Ψv   26 τοῦ alt—ἀγαθοῦ: τοσούτων σοι ἀγαθῶν VM   28 μὲν post πᾶσα coll VM

ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾿ αὐτῆς
1301 M. γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

Οὐκοῦν τῶν προσδοκωμένων καρπῶν ἄνθος ἡ θλῖψίς ἐστιν· διὰ τὸν καρπὸν οὖν καὶ τὸ ἄνθος δρεψώμεθα. διωχθῶμεν ἵνα δράμωμεν· δραμόντες δὲ οὐκ εἰκῇ δραμούμεθα ἀλλὰ πρὸς τὸ βραβεῖον ἡμῖν τῆς ἄνω κλήσεως ὁ δρόμος ἔστω· οὕτω δράμωμεν ἵνα καταλάβωμεν. τί τὸ καταλαμβανόμενον; τί τὸ βραβεῖον; τίς ὁ στέφανος; οὔ μοι δοκεῖ ἄλλο τι εἶναι παρ᾿ αὐτὸν τὸν κύριον ἕκαστον τῶν ἐλπιζομένων. αὐτὸς γάρ ἐστι καὶ ἀγωνοθέτης τῶν ἀθλούντων καὶ στέφανος τῶν νικώντων· ἐκεῖνος ὁ διανέμων τὸν κλῆρον, ἐκεῖνος ὁ ἀγαθὸς κλῆρος· ἐκεῖνος ἡ ἀγαθὴ μερίς, ἐκεῖνος ὁ τὴν μερίδα σοι χαριζόμενος· ἐκεῖνος ὁ πλουτίζων, ἐκεῖνος ὁ πλοῦτος· ὁ δεικνύς σοι τὸν θησαυρὸν καὶ θησαυρός σοι γινόμενος· ὁ εἰς ἐπιθυμίαν σε τοῦ καλοῦ μαργαρίτου ἄγων καὶ ὤνιός σοι τῷ καλῶς ἐμπορευομένῳ προκείμενος. ἵνα οὖν ἐκεῖνα κτησώμεθα ταῦτα ἀποκτησώμεθα, ὥσπερ ἐπ᾿ ἀγορᾶς ὧν ἔχομεν ἀντικαταλλασσόμενοι ὃ οὐκ ἔχομεν. μὴ λυπηθῶμεν τοίνυν διωκόμενοι· μᾶλλον δὲ καὶ εὐφρανθῶμεν, ὅτι διὰ τοῦ διώκεσθαι ἀπὸ τῶν τῇ γῇ τιμίων πρὸς τὸ οὐράνιον ἀγαθὸν συνελαυνόμεθα, κατὰ τὸν ἐπαγγειλάμενον μακαρίους εἶναι τοὺς δεδιωγμένους ἕνεκεν αὐτοῦ, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

11-12 cf Col 1, 12 13-16 cf Matth 13, 44-46

2 ἐγγεγυμνασμένοις V ἐγγεγυμνασμένης M 5 δραμόντες— 6 ἔστω om VM 6 ἡμῖν WC: ἡμῶν Ψv ἔστω ΨCZ: ἔσται W 8 τίς: τί VM τι om VM 10 καὶ pr: ὁ VM ὁ στέφανος VM νικόντων Φ (sed ο in ω corr V) 13 ἐκεῖνος ante ὁ δεικνύς add VMZ 14-15 σε ante ἄγων coll VM 15 ὤνιός: εὔωνός VM συμπορευομένῳ v 16 ἐκεῖνο v 16-17 ταῦτα ἀποκτησώμεθα ΦZ: om Ψv 17-18 ἀντικαταλλάσσομεν Ψ (-αλα- OR sed λ e corr habet et σ pr fort expunx R^2 ut vid) ἀντικαταλλάσσωμεν v 18 ὃ WΨZ (ut vid): ἅπερ VM ἃ Cv 19 τοῦ: τὸ v 20 ἐν ante τῇ add VM 23 ὅτι αὐτῷ ἐστιν: ᾧ ΦZ (cf Or dom 74, 3) 24 τοῦ μακαρίου γρηγορίου ἐπισκόπου νύσης εἰς τοὺς μακαρισμούς post ἀμήν add K τέλος σὺν θεῷ τῶν μακαρισμῶν add C ἐτελεώθη add Z

INDEX OF PASSAGES CITED IN THE *TESTIMONIA*

BIBLICAL PASSAGES

Old Testament

Genesis

1, 1 sqq 10, 14–26
1, 26–27 80, 20–21
2, 7 85, 15
2, 8 65, 15–16
2, 8–9 105, 22–24
2, 9 10, 24
2, 10 92, 17
3, 1 sqq 53, 3–5
3, 7 65, 20–21
3, 7 sqq 27, 18–20
3, 14 65, 22–23
3, 15 54, 1–2
3, 16 sqq 105, 24 sqq
3, 18 92, 15
3, 19 55, 11–12
3, 19 83, 13–14
3, 21 161, 22–23
3, 21 65, 3–4
3, 23–24 65, 21
4, 4–8 159, 3–8
17, 12 161, 14–15
18, 27 149, 25
28, 12–13 123, 20–22
37, 2 sqq 164, 28

Exodus

3, 14 118, 9
3, 15 118, 8–9
4, 12 78, 21–22
4, 15 78, 21–22
12, 8 107, 26
17, 11 sqq 9, 7–8
19, 2 sqq 20, 3 sqq
20, 13 147, 4–6
20, 15 146, 20
22, 26 124, 23–24
22, 26 118, 10
25, 40 148, 25 sqq
26, 1 sqq 148, 25 sqq
28, 4 sqq 31, 5 sqq
33, 17 140, 3
33, 20 137, 21
34, 6 124, 23–24
36, 9 sqq 31, 5 sqq

Leviticus

8, 6 sqq 31, 5 sqq
12, 2–3 161, 14–15
18, 7 85, 19

Numbers

25, 6–11 147, 2

Deuteronomy

5, 17 147, 4–6
5, 18 146, 20
7, 15 78, 16
8, 3 116, 19
23, 19 56, 12–13

Judges

18, 2 25, 8–9
21, 10 25, 8–9

I Kingdoms

10, 26 — 25, 8–9
20, 30 — 25, 5–6

II Kingdoms

13, 28 — 25, 8–9

III Kingdoms

8, 46 — 64, 18–19

IV Kingdoms

2, 11 — 144, 23–24
2, 16 — 25, 8–9
19, 35 — 9, 8–10
20, 1 sqq — 9, 5–6

I Paralipomenon

11, 15 (in critical apparatus) — 39, 5

II Paralipomenon

6, 36 — 64, 18–19

Judith

16, 12 — 25, 5–6

Psalms

1, 1 — 92, 13
4, 3 — 24, 21
6, 1 — 161, 12–13
6, 11 — 34, 10–11
8, 6 — 51, 9–10
8, 7–9 — 70, 24
9, 4 sqq — 14, 21–23
11, 1 — 161, 12–13
16, 15 — 122, 12
17, 37–39 — 94, 4–5
22, 2 — 92, 16
26, 13 — 92, 8
33, 9 — 122, 20
34, 4 — 16, 12
34, 4 — 34, 10–11
36, 2 — 149, 26–27
39, 15 — 34, 10–11
41, 3 — 122, 8
54, 7 — 22, 19
55, 10 — 34, 10–11
59, 13 — 34, 11
65, 13–14 — 21, 26 sqq
67, 2–3 — 14, 21–23
67, 3 — 38, 16–17
67, 18 — 39, 7–8
68, 15 — 34, 9–10
72, 28 — 28, 22
75, 12 — 22, 1
79, 3 — 43, 21
82, 10 sqq — 14, 21–23
83, 2 sqq — 108, 11
83, 6 — 110, 13–14
85, 5 — 124, 21–22
85, 15 — 124, 21–22
86, 3 — 92, 22
91, 8 — 14, 21–23
102, 3 — 78, 16
102, 8 — 124, 21–22
103, 10 — 10, 17
103, 14 — 55, 16–17
103, 14 — 71, 3
103, 24 — 141, 3
103, 35 — 14, 21–23
103, 35 — 15, 17
107, 13 — 34, 11
110, 4 — 124, 21–22
111, 9 — 89, 10
113, 12 — 47, 14
114, 5 — 124, 21–22
114, 5 — 125, 3–4
119, 5 — 108, 9
127, 5 — 138, 14
135, 25 — 55, 17–18
144, 8 — 124, 21–22
144, 15 — 55, 17–18

Psalms (cont.)

144, 16 — 55, 18–19
146, 9 — 55, 17
146, 9 — 71, 3

Proverbs

13, 10 — 133, 9
20, 9 — 64, 18–19
20, 9 — 68, 15
23, 27 — 119, 18
24, 16 — 64, 18–19
27, 1 — 57, 2–3

Ecclesiastes

1, 2 — 149, 28
5, 1 — 28, 21
5, 1 — 151, 3
7, 20 — 64, 18–19

Song of Songs

2, 8–9 — 94, 6–7

Job

14, 4 — 68, 17
14, 4–5 — 64, 18–19

Wisdom

1, 13 — 17, 12–13

Hosea

9, 14 — 14, 24–26

Micah

4, 2 — 78, 12

Jonah

2, 1 sqq — 9, 4–5
4, 2 — 124, 22

Habacuc

3, 3 — 122, 18
3, 19 — 102, 11

Isaiah

1, 3 — 84, 18–20
1, 11 — 56, 18
1, 13 — 56, 18
2, 3 — 78, 12
14, 12 — 83, 23
26, 10 — 138, 15–16
35, 3 — 78, 14
40, 6 — 149, 25–26
40, 12 — 34, 18
40, 12 — 150, 21
40, 18 — 151, 1
40, 22 — 10, 16
40, 25 — 151, 1
42, 8 — 118, 7
46, 5 — 151, 1
52, 5 — 35, 8
53, 4 sqq — 78, 17–18
53, 5 — 78, 16
64, 1 — 38, 16–17
64, 3 — 91, 22
66, 3 — 56, 18–19
66, 24 — 100, 26–27

Jeremiah

9, 20 — 67, 9
10, 1 sqq — 16, 23 sqq
10, 25 — 14, 23–24
20, 12 — 14, 23–24

Ezekiel

36, 20 — 35, 8

Daniel

3, 50 — 9, 6–7

New Testament

Matthew

3, 17	138, 21
4, 1	72, 18
4, 2–3	114, 6–12
4, 4	116, 19
5, 3	77, 2–3
5, 11	162, 4
5, 16	36, 2–3
5, 21–22	146, 20
5, 27–32	147, 4–6
5, 39–40	147, 9–12
5, 48	29, 2
6, 7	11, 17
6, 9	20, 2
6, 9	21, 16
6, 19–20	82, 1–3
6, 21	30, 10
6, 24	72, 19
6, 33	58, 19
6, 34	57, 5
7, 7	58, 19
7, 8	129, 12
7, 13–14	145, 15–18
8, 12	100, 27–28
8, 17	78, 17–18
10, 28	147, 12–14
10, 39	147, 12–14
11, 11	64, 9–10
11, 29	113, 16
12, 24	72, 18
13, 19	72, 19
13, 22	52, 26
13, 24–30	52, 21–24
13, 25	83, 19–22
13, 44–46	170, 13–16
14, 28–31	138, 3–5
15, 19	68, 10
18, 8–9	100, 26–27
18, 23 sqq	69, 26
19, 20	63, 26
19, 21	88, 19
19, 27	88, 23
21, 19	65, 20–21
25, 31–46	162, 23 sqq
25, 31 sqq	134, 15
25, 34	130, 15
25, 40	134, 18–19
25, 41	130, 15
25, 45	134, 18–19

Mark

1, 13	114, 6–12
2, 7	44, 2
4, 7	52, 26
4, 19	52, 26
7, 21	68, 10
9, 43–48	100, 26–27
10, 20	63, 26
11, 13–14	65, 20–21

Luke

1, 17	64, 9–10
2, 7	84, 18–20
2, 21	161, 14–15
4, 2–3	114, 6–12
4, 4	116, 19
4, 23	69, 13
5, 21	44, 2
6, 20	77, 2–3
6, 22	162, 4
7, 28	64, 9–10
8, 14	52, 26
10, 18	83, 23
11, 2	20, 2
11, 2	21, 16
11, 2 (variant)	39, 18
11, 9	58, 19
12, 16–21	57, 25 sqq
12, 24	55, 17
12, 31	58, 19
13, 24	145, 15–18
13, 28	100, 27–28
15, 8–16	63, 12–15
15, 11 sqq	26, 28 sqq
16, 8	25, 6–8
16, 15	13, 14

Luke (cont.)

16, 20	113, 9–10
16, 25	108, 17
17, 21	129, 10
18, 1	8, 15–16
18, 10–14	64, 15
18, 21	63, 26

John

1, 9	77, 9
1, 12	29, 10
1, 14	42, 27
1, 18	137, 14
1, 18	42, 27
1, 29	44, 4
3, 16	42, 27
3, 18	42, 27
3, 21	99, 9–10
4, 10	122, 6
4, 14	81, 5
4, 34	116, 25
5, 26	24, 2
6, 26 sqq	116, 19
6, 50	122, 5
6, 57	24, 2
7, 38	81, 5
8, 34	106, 6 sqq
8, 34	169, 8
8, 44	25, 1–2
8, 44	72, 19
8, 44	72, 20
12, 36	25, 6–8
13, 15	84, 27
13, 25	140, 1–2
14, 16–17	109, 16–18
14, 23	122, 23
14, 26	109, 16–18
14, 30	72, 19
15, 1	92, 17–18
15, 26	42, 17
15, 26	109, 16–18
16, 7 sqq	109, 16–18
16, 28	42, 16
17, 8	42, 16
17, 12	25, 4–5
21, 20	140, 1–2

Acts of the Apostles

7, 55–60	165, 17–29
7, 58–59	168, 2
9, 31	109, 16–18
12, 2	168, 1
17, 28	10, 5

Romans

1, 11	94, 13–14
1, 20	141, 8–10
2, 7–9	130, 3
2, 11	30, 13
2, 24	35, 8
3, 11	10, 26
6, 17	106, 6 sqq
6, 20	106, 6 sqq
7, 12	32, 2–3
7, 14	48, 8–9
7, 22	143, 16
7, 24	150, 1
8, 9	43, 3
8, 22 (in critical apparatus)	105, 26
8, 27	13, 14
8, 28–30	166, 14
11, 33	140, 21
12, 1	33, 2
12, 11	82, 16
12, 12	5, 14
13, 13	35, 13
14, 10–12	134, 1–3
16, 18	106, 6 sqq

I Corinthians

1, 24	80, 13
1, 30	122, 3–5
2, 6	142, 3
2, 9	91, 22
2, 12	42, 17
3, 18–19	142, 3
4, 16	61, 16
5, 1 sqq	101, 4–5

I Corinthians (cont.)

9, 24–27 93, 12 sqq
10, 3–4 117, 23–26
11, 1 61, 16
12, 31 125, 7
15, 22 66, 13

II Corinthians

2, 7 101, 9
3, 17 43, 18
3, 17–18 43, 3
3, 18 143, 20 sqq
4, 16 143, 16
6, 14 24, 17
6, 14 130, 26
6, 15 56, 11–12
7, 10 100, 5
8, 9 83, 8
11, 27 93, 29 sq

Galatians

2, 19 168, 1
2, 20 122, 28
4, 6 43, 3
5, 21 35, 13
5, 22–23 160, 7
6, 7–8 130, 26
6, 17 94, 1

Ephesians

1, 19 141, 25–26
1, 21 50, 15–16
2, 1 100, 19
2, 3 25, 3–4
2, 5 66, 17
2, 14 160, 18–20
3, 7 141, 25–26
3, 16 143, 16
4, 18–19 100, 19
5, 5 7, 8
5, 5 64, 3–6
5, 8 25, 6–8
6, 12 15, 28
6, 17 32, 26

Philippians

2, 5–7 84, 9
3, 12–13 123, 2
3, 14 93, 15–16
3, 21 141, 25–26

Colossians

1, 12 170, 11–12
1, 16 50, 15–16
1, 29 141, 25–26
2, 12 141, 25–26
2, 13 100, 19
3, 2 30, 7
3, 5 7, 8
3, 5 64, 3–6

I Thessalonians

2, 4 13, 14
4, 13 19, 8–9
4, 17 49, 9
4, 17 89, 2
5, 5 25, 6–8

II Thessalonians

1, 12 35, 3–4
2, 3 25, 4–5

I Timothy

1, 5 21, 3–7
2, 2 98, 17–18
2, 4 117, 1–2
4, 2–3 55, 6–7
6, 15 83, 1
6, 15 84, 15
6, 16 137, 15

II Timothy

4, 8 33, 14–15
4, 8 139, 26

Titus

3, 3 106, 6 sqq

Hebrews

1, 3 41, 2
2, 9 51, 9–10
4, 12 167, 1
4, 15 114, 1–2
5, 14 125, 11
9, 11 32, 15–16
10, 1 31, 3
10, 22 21, 3–7
11, 1 9, 4
12, 1 99, 6–8
12, 11 169, 27
12, 12 78, 14
12, 18 sqq 20, 3 sqq

James

3, 2–3 96, 14–15

I Peter

3, 4 143, 17

II Peter

2, 21 32, 2–3
2, 22 35, 14–15

I John

1, 8 64, 18–19
2, 8 77, 9
3, 5 44, 4
4, 9 42, 27
5, 19 73, 7

Apocalypse

2, 7 94, 12–13

NON-BIBLICAL PASSAGES

Alcmaeon

Die Fragmente der Vorsokratiker, ed Diels-Kranz[6]

Frag 4 45, 9

Aristotle

Nicomachean Ethics

I, 5 111, 13–19
I, 7 111, 13–19
III, 10, 1118a31–b8 68, 4–6
V, 3–4 112, 1 sqq

On the Soul

I, 1, 403a30–31 47, 8
I, 1, 403a30–31 96, 19 sqq

[Aristotle]

Problems

XXX, 953a29–31 111, 7–11

Athanasius

Oratio contra gentes

34 143, 20 sqq

Athenaeus

Deipnosophists

I, 9c 52, 18–19

Cleanthes

Stoicorum veterum fragmenta, ed von Arnim

I, 123 (538) 10, 16–17

Clement of Alexandria

Paedagogus

III, 1 143, 16
III, 11 53, 20–25

Epictetus

Discourses

I, 14 163, 17–18

Euripides

Medea 376 37, 25 sqq

Eusebius

Historia ecclesiastica

II, 25 168, 1
III, 1 168, 2–3

Gregory of Nyssa (GNO)

De beatitudinibus

142, 16 sqq 98, 3
155, 27 sqq 96, 19 sqq

De oratione dominica

37, 25 sqq 67, 9
47, 5–9 96, 19 sqq

De professione christiana

VIII i 140, 4–14 28, 11–20

De vita Moysis

VII i 97, 22 sqq 31, 5 sqq

In Canticum canticorum

VI 90, 10 sqq 143, 20 sqq

In Ecclesiasten

V 348, 15–350, 10 53, 3 sqq
V 413, 5 sqq 136, 26 sqq

Heraclitus

Die Fragmente der Vorsokratiker, ed Diels-Kranz[6]

Frag 88 12, 18

Hippocrates

De vetere (prisca) medicina

III 111, 7–11

Homer

Iliad

VIII, 50 22, 23–24

Marcus Aurelius

Meditations

III, 4 159, 9–11
V, 16 159, 9–11
V, 30 163, 17–18
VI, 14 159, 9–11
VI, 38 163, 17–18
VII, 9 163, 17–18
IX, 9 159, 9–11
XII, 30 159, 9–11

Menander

Comicorum Atticorum fragmenta, ed Kock

Frag 538 86, 11 sqq

Origen

Commentarii in Iohannem

1, 16 5, 2

Philo Judaeus

De Iosepho

14, 73 — 60, 26

De migratione Abrahami

103 — 31, 5 sqq

Legum allegoriarum

II, 91–92 — 106, 6 sqq

Quaestiones et solutiones in Exodum

II, 120 — 31, 5 sqq

Quod deterius potiori insidiari soleat

IX, 27 — 162, 9

De specialibus legibus

I, 93–94 — 31, 5 sqq
I, 208 — 45, 9

De vita Mosis

II, 119–121 — 31, 5 sqq
II, 133 — 31, 5 sqq

Plato

Crito

47D–48A — 156, 21–27

Gorgias

479B–C — 156, 21–27
493B — 119, 18
512A — 156, 21–27

Laws

792D — 14, 12–13
896E — 23, 5
906C — 44, 14 sqq
967A — 141, 11–13

Phaedo

109C–110A — 50, 1–4

Phaedrus

239D — 31, 21
246B–248C — 48, 20 sqq
246C — 90, 13–15
247A — 30, 14
247B–C — 90, 13–15
279B — 143, 16

Protagoras

313C–314B — 111, 12
329C sqq — 118, 18 sqq

Republic

435A — 140, 14
444C–E — 44, 14 sqq
445A–B — 156, 21–27
492C — 102, 20–21
514A sqq — 104, 9–10
560B sqq — 106, 6 sqq
566E — 14, 12–13
577C sqq — 106, 6 sqq
589A–B — 143, 16
613A–B — 28, 2 sqq
617E — 37, 20

Symposium

186B–E — 44, 14 sqq

Theaetetus

146A — 159, 5–6
175E — 60, 26
176A — 49, 22–26
176A–B — 28, 2 sqq

Timaeus

29E — 30, 14
47E–48A — 141, 11–13
68E–69A — 141, 11–13
70A — 106, 6 sqq
82A — 44, 14 sqq

Plotinus

Enneads

I, i, 10, 15 — 143, 16
I, ii, 1 — 28, 2 sqq
I, iv, 16 — 28, 2 sqq
I, vi, 5 — 48, 20 sqq
I, vi, 8 — 26, 26–27

Enneads (cont.)

I, vi, 8 28, 2 sqq
I, vi, 9 142, 16 sqq
I, viii, 6–7 28, 2 sqq
I, viii, 7 49, 27 sqq
III, ii, 2 141, 11–13
III, vii, 5 23, 7–9
III, viii, 11 142, 16 sqq
IV, iii, 8 159, 9–11
IV, iv, 35 163, 17–18
IV, iv, 40–41 163, 17–18
IV, viii 62, 26 sqq
IV, viii, 4 48, 20 sqq
IV, ix, 3 159, 9–11
V, viii, 11 142, 16 sqq
VI, ix, 9 49, 27 sqq
VI, ix, 11 142, 16 sqq

Plutarch

Quaestiones convivales

IV, 1, 660F 114, 27–28

Theophilus Antiochenus

Ad Autolycum

I, 2 143, 20 sqq

558157

THEOLOGY LIBRARY
CLAREMONT, CALIF

BR
65
G73
1952
v.7
pt.2

THEOLOGY LIBRARY
SCHOOL OF THEOLOGY
AT CLAREMONT
CLAREMONT, CALIFORNIA
91711

558157 12/98

DEMCO